ἐστιν ἢ παρακινδυνεύειν τοσοῦτον κίνδυνον. — Ἀλκ. Ἀλλὰ πῶς, ὦ Σώκρατες; καὶ μὴν τουτονὶ τὸν στέφανον, ἐπειδή μοι δοκεῖς καλῶς συμβεβουλευκέναι, σοὶ περιθήσω· τοῖς θεοῖς δὲ καὶ στεφάνους καὶ τἄλλα πάντα τὰ νομιζόμενα τότε δώσωμεν, ὅταν ἐκείνην τὴν ἡμέραν ἐλθοῦσαν ἴδω. Ἥξει δ' οὐ διὰ μακροῦ, τού-
6 των θελόντων. — Σωκ. Ἀλλὰ δέχομαι καὶ τοῦτο, καὶ ἄλλο δὲ ἄντι τῶν παρὰ σοῦ δοθέντων ἡδέως ἴδοιμι δεξάμενον ἐμαυτόν. Ὥσπερ δὲ καὶ ὁ Κρέων Εὐριπίδῃ πεποίηται τὸν Τειρεσίαν ἰδὼν ἔχοντα τὰ στέφη, καὶ ἀκούσας ἀπὸ τῶν πολεμίων ἀπαρχὰς αὐτὸν εἰληφέναι, διὰ τὴν τέχνην, «Οἰωνὸν ἐθέμην, φησί, καλλίνικα στέφη.» Ἐν γὰρ κλύδωνι διακείμεθα, ὥσπερ οἶσθα σύ· οὕτω δὲ κἀγὼ παρὰ σοῦ τὴν δόξαν ταύτην οἰωνὸν τίθεμαι. Δοκῶ δέ μοι οὐκ ἐν ἐλάττονι κλύδωνι τοῦ Κρέοντος εἶναι, καὶ βουλοίμην ἂν καλλίνικος γενέσθαι τῶν σῶν ἐραστῶν.

## Ε'. ΜΕΝΕΞΕΝΟΣ, Η ΕΠΙΤΑΦΙΟΣ (*).

ά. Ἐξ ἀγορᾶς, ἢ πόθεν Μενέξενος; — Μεν. Ἐξ ἀγορᾶς, ὦ
2 Σώκρατες, καὶ ἀπὸ τοῦ βουλευτηρίου. — Σωκ. Τί μάλιστα σὺ πρὸς βουλευτήριον; ἢ δηλαδὴ ὅτι παιδεύσεως καὶ φιλοσοφίας ἐπὶ τέλει ἡγῇ εἶναι; καὶ ὡς ἱκανῶς ἤδη ἔχων, ἐπὶ τὰ μείζω ἐπινοεῖς τρέπεσθαι; καὶ ἄρχειν ἡμῶν, ὦ θαυμάσιε, ἐπιχειρεῖς τῶν πρεσβυτέρων, τηλικοῦτος ὤν; ἵνα μὴ ἐκλίπῃ ὑμῶν ἡ οἰκία
3 ἀεί τινα ἡμῶν ἐπιμελητὴν περεχομένη; — Μεν. Ἐὰν σύγε, ὦ Σώκρατες, ἐᾷς καὶ συμβουλεύῃ ἄρχειν, προθυμήσομαι· εἰδὲ μή, οὔ. Νῦν μέντοι ἀφικόμην πρὸς τὸ βουλευτήριον, πυθόμενος ὅτι
4 ἡ βουλὴ μέλλει αἱρεῖσθαι ὅς τις ἐρεῖ ἐπὶ τοῖς ἀποθανοῦσι. Τα-

5. Ἀλλὰ πῶς) Δοκεῖ σοι. Καὶ γὰρ αἰτιολογικὸς ὁ Καὶ μήν.

— Οὐ διὰ μακροῦ) Χρόνου δηλ. διὰ βραχέος ἥξει χρόνου· ἐκείνη ἡ ἡμέρα, ἐὰν οἱ θεοὶ θέλωσιν.

6. Καὶ ὁ Κρέων) Εὐριπίδ. Φοίνισ. στίχ. 865.

(*) Περίπυστος ὁ διάλογος οὗτος. Διονύσιος γὰρ ὁ Ἁλικαρνασσεὺς φησί. Κράτιστος πάντων τῶν πολιτικῶν λόγων, ὁ Μενέξενος, ἐν ᾧ τὸν ἐπιτάφιον διεξέρχεται λόγον· ἐν τῷ περὶ Δημοσθ. καὶ Πλούταρχ. ἐν τῷ Περικλ. Ἀριστοτ. Ῥητορ Γ'. ιδ' Λογγῖν. τμῆμ. κή. καὶ συχνοὶ ἄλλοι. Ἐκλήθη δὲ Μενέξενος μέν, ὅτι Μενέξενον ὑποτίθησι συνδιαλεγόμενον Σωκράτει. Ἐπιτάφιος δέ, διότι ἐπιτάφιον διεξέρχεται Σωκράτης πάντων τῶν ὑπὲρ τῆς πατρίδος ἀποθανόντων.

ά. Ἐξ ἀγορᾶς, ἢ) Ἐννοεῖται Ἔρχεται· καὶ ἐν τῇ ἀποκρίσει Ἔρχομαι.

2. Τί μάλιστα σὺ πρὸς τὸ) Ἐννοεῖται. Βουλόμενος θαμίζεις, ἢ φοιτᾷς, ἤ τι τοιοῦτο. Ἐν γὰρ τοῖς διαλογικοῖς σύνηθες τὸ ἄνευ ῥήματος λέγεσθαι· καὶ ἐννοεῖσθαι τὸ προσῆκον ῥῆμα.

— Ἢ δηλαδὴ ὅτι) Ὁ Ἢ λυτικός. Ἢ πάντως ὅτι νομίζεις εἶναι κατὰ τὸ τέλος τῆς παιδεύσεως καὶ φιλοσοφίας.

3. Μέλλει αἱρεῖσθ.) Τινά· ὅς τις ἐπιτάφιον λόγον ἐρεῖ ἐπὶ τοῖς θανοῦσιν. Ἐπὶ γὰρ τὰς δημοσίας ταφὰς ἡ βουλὴ ᾑρεῖτο τὸν ἐροῦντα τὸν ἐπιτάφιον ὡς Δημοσθ. ἐν ἐπιταφ. λέγει. «Ἔδοξε τῇ »πόλει δημοσίᾳ θάπτειν, καὶ προσέτα»ξε τὸν τῷ νόμῳ προσθέντα ἐμοὶ λό»γον. Καὶ Λυσίας ἐν Ἐπιταφ. καὶ Θουκυδ. Β'. λδ'. Ἐὰν δὲ κρύψωσι γῆ, ἀνὴρ

ρας γὰρ οἶσθ' ὅτι μέλλουσι ποιεῖν. — Σωκ. Πάνυγε. Ἀλλὰ
τίνα εἵλοντο; — Μεν. Οὐδένα· ἀλλ' ἀνεβάλοντο εἰς τὴν αὔριον.
Οἶμαι μέντοι Ἀρχῖνον ἢ Δίωνα αἱρεθήσεσθαι. — Σωκ. Καὶ μήν, 5
ὦ Μενέξενε, πολλαχοῦ κινδυνεύει καλὸν εἶναι τὸ ἐν πολέμῳ ἀ-
ποθνήσκειν. Καὶ γὰρ ταφῆς καλῆς τε καὶ μεγαλοπρεποῦς τυγ-
χάνει· καὶ ἐὰν πένης τὶς ὢν τελευτήσῃ, καὶ ἐπαίνου αὖ ἔτυχε·
καὶ ἐὰν φαῦλος ᾖ, ὑπ' ἀνδρῶν σοφῶν τε καὶ οὐκ εἰκῇ ἐπαι-
νούντων, ἀλλὰ ἐκ πολλοῦ χρόνου λόγους παρεσκευασμένων· οἳ
οὕτω καλῶς ἐπαινοῦσιν, ὥστε καὶ τὰ προσόντα, καὶ τὰ μὴ
περὶ ἑκάστου λέγοντες, κάλλιστά πως τοῖς ὀνόμασι ποικίλλον-
τες, γοητεύουσιν ἡμῶν τὰς ψυχάς, καὶ τὴν πόλιν ἐγκωμιάζον-
τες κατὰ πάντας τρόπους· καὶ τούς τε τελευτηκότας ἐν τῷ πο-
λέμῳ, καὶ τοὺς προγόνους ἡμῶν ἅπαντας τοὺς ἔμπροσθεν, καὶ
αὐτοὺς ἡμᾶς τοὺς ἔτι ζῶντας ἐπαινοῦντες. Ὥστ' ἔγωγε, ὦ Με- 6
νέξενε, γενναίως πάνυ διατίθεμαι, ἐπαινούμενος ὑπ' αὐτῶν· καὶ
ἑκάστοτε ἕστηκα ἀκροώμενος καὶ κηλούμενος, ἡγούμενος ἐν τῷ
παραχρῆμα μείζων καὶ γενναιότερος καὶ καλλίων γεγονέναι. Καὶ
οἷα δὴ τὰ πολλὰ ἀεὶ μετ' ἐμοῦ ξένοι τινὲς ἕπονται καὶ ξυνα-
κροῶνται· πρὸς οὓς ἐγὼ σεμνότερος ἐν τῷ παραχρῆμα γίνο-
μαι. Καὶ γὰρ ἐκεῖνοι ταὐτὰ ταῦτα δοκοῦσί μοι πάσχειν καὶ 7
πρὸς ἐμὲ καὶ πρὸς τὴν ἄλλην πόλιν, θαυμασιωτέραν αὐτὴν
ἡγεῖσθαι εἶναι ἢ πρότερον, ὑπὸ τοῦ λέγοντος ἀναπειθόμενοι. Καὶ 8
μοι αὕτη ἡ σεμνότης παραμένει ἡμέρας πλείω ἢ τρεῖς· οὕτως
ἔναυλος ὁ λόγος τε καὶ ὁ φθόγγος παρὰ τοῦ λέγοντος ἐνδύεται
εἰς τὰ ὦτα, ὥστε μόγις τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ ἀναμιμνή-
σκομαι ἐμαυτοῦ, καὶ αἰσθάνομαι οὗ γῆς εἰμι· τέως δὲ οἶμαι μο-
νονοὐκ ἐν μακάρων νήσοις οἰκεῖν. Οὕτως ἡμῖν οἱ ῥήτορες δε-
ξιοί εἰσιν.

β'. Μεν. Ἀεὶ σὺ προσπαίζεις, ὦ Σώκρατες, τοὺς ῥήτορας· νῦν
μέντοι οἶμαι ἐγὼ τὸν αἱρεθέντα οὐ πάνυ εὐπορήσειν. Ἐξ ὑπογυίου

---

νηρημένους ἀπὸ τῆς πόλεως . . . λέγει δὲ ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα«.

— Ταφῆς) Περιφραστικῶς ἀντὶ τοῦ θάπτειν.

5. Καὶ ἐὰν φαῦλος ᾖ) Καὶ ἐὰν πένης τις ὢν τελευτήσῃ, καὶ ἐὰν φαῦλος ᾖ οὐ μόνον ταφῆς καλῆς, καὶ μεγαλοπρεποῦς τυγχάνει, ἀλλὰ καὶ ἐπαίνου πρὸς τούτοις τυγχάνει ὑπ' ἀνδρῶν καὶ τλ. Τὸ δὲ Ἔτυχεν ἀντὶ ἐνεστῶτος, διὰ τὸ ἀναγκαῖον καὶ ὁμολογούμενον εἰς βεβαίωσιν παρῳχημένῳ [illegible] ἀντὶ ἐνεστῶτος.

— Οἱ οὕτω καλῶς ἐπ.) Πρὸς Περικλέα ἀναφέρει τὸν λόγον. Θουκυδίδης γὰρ ἐν Β'. λέ. λόγον διέξεισι Περικλέους ἐπιτάφιον τὰ εἰρημένα πάντα περιέχοντα.

6. Καὶ ἑκάστοτε ἕστηκ.) Ἀντὶ ἵσταμαι ὡς ὁμολογούμενον καὶ ἀναγκαῖον.

7. Θαυμασιωτέρ.) Ἐπεξήγησις τοῦτο τοῦ πάσχειν ταὐτὰ ταῦτα· δηλ. ἡγεῖσθαι θαυμασιωτέραν τὴν πόλιν μετὰ τοὺς λόγους τούτους, ἀναπειθόμενοι ὑπὸ τοῦ λέγοντος, ἢ πρότερον.

β'. Οὐ πάνυ εὐπορ.) Ἄγνωστον δηλ. καὶ

γάρ παντάπασιν ἡ αἵρεσις γέγονεν· ὥστε ἴσως ἀναγκασθήσεται
2 ὁ λέγων, ὥσπερ αὐτοσχεδιάζειν. — Σωκ. Πόθεν, ὦ ᾽γαθέ; εἰσὶν
ἑκάστοις τούτων λόγοι παρεσκευασμένοι· καὶ ἅμα οὐδὲ αὐτο-
σχεδιάζειν τάγε τοιαῦτα χαλεπόν. Εἰ μὲν γὰρ δέοι Ἀθηναίους
ἐν Πελοποννησίοις εὖ λέγειν, ἢ Πελοποννησίους ἐν Ἀθηναίοις,
ἀγαθοῦ ἂν ῥήτορος δέοι τοῦ πείσοντος, καὶ εὐδοκιμήσοντος· ὅ-
ταν δέ τις ἐν τούτοις ἀγωνίζηται οὕσπερ καὶ ἐπαινεῖ, οὐδὲν μέγα
3 δοκεῖ εὖ λέγειν. — Μεν. Οὐκ οἴει, ὦ Σώκρατες; — Σωκ. Οὐ μέντοι,
μὰ Δία. — Μεν. Ἦ οἴει οἷός τ᾽ ἂν εἶναι αὐτὸς εἰπεῖν, εἰ δέοι,
καὶ ἕλοιτό σε ἡ βουλή; — Σωκ. Καὶ ἐμοὶ μέν γε, ὦ Μενέξενε,
οὐδὲν θαυμαστὸν, οἵῳ τ᾽ εἶναι εἰπεῖν, ᾧ τυγχάνει διδάσκαλος οὖσα
οὐ πάνυ φαύλη περὶ ῥητορικῆς, ἀλλ᾽ ἥπερ καὶ ἄλλους πολλοὺς
καὶ ἀγαθοὺς ἐποίησε ῥήτορας, ἕνα δὲ καὶ διαφέροντα τῶν Ἑλ-
λήνων, Περικλέα τὸν Ξανθίππου. — Μεν. Τίς αὕτη; ἢ δῆλον
4 ὅτι Ἀσπασίαν λέγεις; — Σωκ. Λέγω γάρ· καὶ Κόννον γε τὸν
Μητροβίου. Οὗτοι γάρ μοι δύο εἰσὶ διδάσκαλοι· ὁ μὲν, μου-
σικῆς· ἡ δὲ, ῥητορικῆς. Οὕτω μὲν οὖν τρεφόμενον ἄνδρα οὐδὲν
θαυμαστὸν δεινὸν εἶναι λέγειν. Ἀλλὰ καὶ ὅς τις ἐμοῦ κάκιον ἐπε-
δεύθη μουσικὴν μὲν ὑπὸ Λάμπρου παιδευθεὶς, ῥητορικὴν δὲ ὑπ᾽
Ἀντιφῶντος τοῦ Ῥαμνουσίου, ὅμως κἂν οὗτος οἷός τ᾽ εἴη Ἀθη-
5 ναίους γε ἐν Ἀθηναίοις ἐπαινῶν εὐδοκιμεῖν. — Μεν. Καὶ τί ἂν
ἔχοις εἰπεῖν, εἰ δέοι σε λέγειν; — Σωκ. Αὐτὸς μὲν παρ᾽ ἐμαυτοῦ ἴσως
οὐδέν· Ἀσπασίας δὲ καὶ χθὲς ἠκροώμην, περαινούσης ἐπιτάφιον
λόγον περὶ αὐτῶν τούτων. Ἤκουσε γὰρ ἅπερ σὺ λέγεις, ὅτι μέλ-
λοιεν Ἀθηναῖοι αἱρεῖσθαι τὸν ἐροῦντα. Ἔπειτα τὰ μὲν ἐκ τοῦ
παραχρῆμα μοὶ διῄει, οἷα δέοι λέγειν, τὰ δὲ, πρότερον ἐσκεμμέ-
νη· ὅτε, μοὶ δοκεῖ, συνετίθει τὸν Ἐπιτάφιον λόγον, ὃν Περικλῆς
6 εἶπε, περιλείμματ᾽ ἄττα ἐξ ἐκείνου συγκολλῶσα. — Μεν. Ἦ καὶ
μνημονεύσαις ἂν ἃ ἔλεγεν Ἀσπασία; — Σωκ. Εἰ μὴ ἀδικῶ γε.
Ἐμάνθανόν γέ τοι παρ᾽ αὐτῆς· καὶ ὀλίγου πληγὰς ἔλαβον, ὅτι
7 ἐπελανθανόμην. — Μεν. Τί οὖν οὐ διῆλθες; — Σωκ. Ἀλλ᾽ ὅπως

---

καὶ γὰρ ἡ αἵρεσις γέγονε πάνυ αἰφνίδιος, παραυτίκα· ἀπεριτκέπτως καὶ ἐκ τοῦ σύνεγγυς· ταῦτα γὰρ σημαίνει τὸ ἐξ ὑπογυίου.

2. Πόθεν) Πόθεν οἴει, ταῦτα.

3. Οὐκ οἴει, ὦ Σώκρατες) Μέγα εἶναι τὸ εὖ λέγειν.

— Ἦ οἴει, οἷός τ᾽ ἂν εἶναι) Ἆρ᾽ οἴει καὶ τλ.

5. Περὶ αὐτῶν τούτων) Τῶν ἀποθανόντων.

— Περιλείμματα ταῦτα) Συγκολλῶσα ἐξ ἐκείνου τοῦ λόγου, ὃν Περικλῆς εἶπε, ταῦτα ἃ ἔλεγεν, ὥσπερ τινὰ λείψανα, ἅπερ ἔδει προσθεῖναι ἐν ἐκείνῳ τῷ λόγῳ.

6. Καὶ ὀλίγου) Δεῖν δηλ. ἀντὶ τοῦ Δέον πληγὰς ἔλαβον.

7. Ἀλλ᾽ ὅπως μή) Ἀλλὰ δέδοικα ὅπως μὴ καὶ τλ. ὅτι δ᾽ ἐννοεῖται τὸ δέδοικα δῆλον ἐκ τῶν τοῦ Πλουτάρχου ἐν Καμίλλῳ. Δέδοικα ὅπως γενήσομαι.

μή μοι χαλεπανεῖ ἡ διδάσκαλος, ἂν ἐξενέγκω αὐτῆς τὸν λόγον.
— Μεν. Μηδαμῶς, ὦ Σώκρατες· ἀλλ' εἰπὲ, καὶ πάνυ μοι χαριῇ,
εἴτε Ἀσπασίας βούλει λέγειν, εἴτε ὁτουοῦν· ἀλλὰ μόνον εἰπέ. —
Σωκ. Ἀλλ' ἴσως μου καταγελάσῃ, ἄν σοι δόξω, πρεσβύτης ὤν,
ἔτι παίζειν. — Μεν. Οὐδαμῶς, ὦ Σώκρατες· ἀλλ' εἰπὲ παντὶ
τρόπῳ. — Σωκ. Ἀλλὰ μέντοι σοί γε δεῖ χαρίζεσθαι· ὥστε κἂν 8
ὀλίγου, εἴ με κελεύοις ἀποδύντα ὀρχήσασθαι, χαρισαίμην ἄν·
ἐπειδή γε μόνω ἐσμέν. Ἀλλ' ἄκουε. Ἔλεγε γὰρ, ὡς ἐγῷμαι, ἀρξα-
μένη λέγειν ἀπ' αὐτῶν τῶν τεθνεώτων, οὑτωσί.

γ΄. Ἔργῳ μὲν ἡμῖν οἵδ' ἤδη ἔχουσι τὰ προσήκοντα σφίσιν
αὐτοῖς· (ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν, προ-
πεμφθέντες κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ὑπὸ τῶν οἰκείων)
λόγῳ δὲ δεῖ τὸν λειπόμενον κόσμον ὅ,τε νόμος προστάττει ἀ-
ποδοῦναι τοῖς ἀνδράσι, καὶ χρή. Ἔργων γὰρ εὖ πραχθέντων,
λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ κόσμος τοῖς πράξασι γίγνεται
παρὰ τῶν ἀκουσάντων. Δεῖ δὴ τοιούτου τινὸς λόγου, ὅς τις τοὺς 2
μὲν τετελευτηκότας ἱκανῶς ἐπαινέσεται, τοῖς δὲ ζῶσιν εὐμενῶς
παραινέσεται· ἐκγόνοις μὲν καὶ ἀδελφοῖς μιμεῖσθαι τὴν τῶνδε ἀρε-
τὴν παρακελευόμενος· πατέρας δὲ καὶ μητέρας, καὶ εἴ τινες τῶν ἄ-
νωθεν ἔτι προγόνων λείπονται, τούτους δὲ παραμυθούμενος. Τίς οὖν 3
ἂν ἡμῖν τοιοῦτος λόγος φανείη; ἢ πόθεν ἂν ὀρθῶς ἀρξαίμεθα ἄνδρας
ἀγαθοὺς ἐπαινοῦντες; οἳ ζῶντές τε τοὺς ἑαυτῶν εὔφραινον δι'
ἀρετὴν, καὶ τὴν τελευτὴν ἀντὶ τῆς τῶν ζώντων σωτηρίας ἠλ-
λάξαντο; Δοκεῖ μοι χρῆναι, κατὰ φύσιν, ὥσπερ ἀγαθοὶ ἐγέ- 4
νοντο, οὕτω καὶ ἐπαινεῖν αὐτούς. Ἀγαθοὶ δὲ ἐγένοντο διὰ τὸ
φῦναι ἐξ ἀγαθῶν. Τὴν εὐγένειαν οὖν πρῶτον αὐτῶν ἐγκωμιά-
ζωμεν· δεύτερον δὲ, τροφήν τε καὶ παιδείαν· ἐπὶ δὲ τούτοις τὴν τῶν
ἔργων πρᾶξιν ἐπιδείξωμεν, ὡς καλὴν καὶ ἀξίαν τούτων ἀπεφήναντο.

δ΄. Τῆς δ' εὐγενείας πρῶτον ὑπῆρξε τοῖσδε ἡ τῶν προγό-
νων γένεσις, οὐκ ἔπηλυς οὖσα, οὐδὲ τοὺς ἐκγόνους τούτους ἀπο-
φηναμένη μετοικοῦντας ἐν τῇ χώρᾳ, ἄλλοθεν σφῶν ἡκόντων,
ἀλλ' αὐτόχθονας, καὶ τῷ ὄντι ἐν πατρίδι οἰκοῦντας καὶ ζῶντας·
καὶ τρεφομένους οὐχ ὑπὸ μητρυιᾶς, ὡς ἄλλοι, ἀλλ' ὑπὸ μη- 2
τρὸς, τῆς χώρας ἐν ᾗ ᾤκουν· καὶ νῦν κεῖσθαι τελευτήσαντας ἐν

---

γ΄. Καὶ χρή) Ἀποδοῦναι τὸν λειπόμενον κόσμον· τὸν ἔπαινον δηλ.

— Ἔργων γὰρ) Ἡ συνθήκη τῶν ὀνομάτων. Μνήμη καὶ κόσμος γίνεται τοῖς πράξασι παρὰ τῶν ἀκουσάντων ἐν λόγῳ τῶν εὖ πραχθέντων ἔργων καλῶς ῥηθέντι. Ὁ νοῦς. Ὅταν λόγος ἔργων καλῶς πραχθέντων ῥηθῇ καλῶς, οἱ ἀκούοντες μέμνηνται καὶ ἐπαινοῦσι τοὺς πράξαντας, σεμνύνοντες αὐτοὺς καὶ ἐκθειάζοντες.

— Τούτους δὲ) Ὁ Δὲ παραπληρωματικός ἐστι κατὰ τὸν Δή.

γ΄. ἀξίαν τούτων) Τῶν ἔργων δηλ. τὸ δὲ Ὡς ἐπιτατικόν.

δ΄. Ἐν ᾗ χώρᾳ ᾤκουν) Ταῖς Ἀθήναις δηλ. Διὰ γὰρ ταύτης τῆς κατὰ

Κ.Ε.Γ.Δ.Κ. ΙΩΑΝΝΙΝΑ 2006

οἰκείοις τόποις τῆς τεκούσης καὶ θρεψάσης καὶ ὑποδεξαμένης.
Δικαιότατον δὴ κοσμῆσαι πρῶτον τὴν μητέρα αὐτῶν. Οὕτω
3 γὰρ συμβαίνει ἅμα καὶ ἡ τῶνδε εὐγένεια κοσμουμένη. Ἔστι
δὲ ἀξία ἡ χώρα καὶ ὑπὸ πάντων ἀνθρώπων ἐπαινεῖσθαι, οὐ μόνον
ὑφ᾽ ἡμῶν πολλαχῇ μὲν καὶ ἄλλῃ, πρῶτον δὲ καὶ μέγιστον, ὅτι
4 τυγχάνει οὖσα θεοφιλής. Μαρτυρεῖ δὲ ἡμῶν τῷ λόγῳ ἡ τῶν
ἀμφισβητησάντων περὶ αὐτῆς θεῶν ἔρις τε καὶ κρίσις. Ἣν δὴ
θεοὶ ἐπῄνεσαν, πῶς οὐχ ὑπ᾽ ἀνθρώπων γε συμπάντων δικαία ἐ-
5 παινεῖσθαι; Δεύτερος δὲ ἔπαινος δικαίως ἂν αὐτῆς εἴη, ὅτι ἐν
ἐκείνῳ τῷ χρόνῳ ἐν ᾧ ἡ πᾶσα γῆ ἀνεδίδου καὶ ἔφυ ζῶα παν-
τοδαπά, θηρία τε καὶ βοτά, ἐν τούτῳ ἡ ἡμετέρα, θηρίων μὲν
ἀγρίων ἄγονος καὶ καθαρὰ ἐφάνη, ἐξελέξατο δὲ τῶν ζώων καὶ
ἐγέννησεν ἄνθρωπον, ὃ συνέσει τε ὑπερέχει τῶν ἄλλων, καὶ δίκην
6 καὶ θεοὺς μόνον νομίζει. Μέγα δὲ τεκμήριον τούτῳ τῷ λόγῳ
ὅτι ἥδε ἔτεκεν ἡ γῆ τοὺς τῶνδέ τε καὶ ἡμετέρους προγόνους. Πᾶν
γὰρ τὸ τεκὸν τροφὴν ἔχει ἐπιτηδείαν ᾧ ἂν τέκῃ· ᾧ καὶ γυνὴ
δήλη τεκοῦσά τε ἀληθῶς, καὶ μή, ἀλλ᾽ ὑποβαλλομένη, ἐὰν μὴ ἔχῃ
7 πηγὰς τροφῆς τῷ γενομένῳ. Ὃ δὴ καὶ ἡ ἡμετέρα γῆ τε καὶ μήτηρ
ἱκανὸν τεκμήριον παρέχεται ὡς ἀνθρώπους γεννησαμένη.
Μόνη γὰρ ἐν τῷ τότε καὶ πρώτη τροφὴν ἀνθρωπείαν ἤνεγκε τὸν

---

περίφρασιν ἐκφράσεως γνησίους Ἀθηναίους βούλεται δεῖξαι τοὺς τελευτήσαντας τούτους, ὧν ὁ ἐπιτάφιος οὑτοσί.

3. Πολλαχῇ μὲν καὶ ἄλλῃ) Καὶ διὰ πολλὰ ἄλλα δηλονότι αἴτια· τὸ δὲ πρῶτον καὶ μέγιστον αἴτιόν ἐστιν ὅτι ἐστὶ θεοφιλής.

4. Ἔρις τε καὶ κρίσις) Ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος· ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικήν, καὶ πλήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν, ἀνέφηνε θάλασσαν· μετὰ τοῦτον ἧκεν Ἀθηνᾶ, καὶ ἐφύτευσεν ἐλαίαν, ποιησαμένη μάρτυρα Κέκροπα. Γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας Ἀθηνᾶς, καὶ Ποσειδῶνα διαλύσας Ζεύς, κριτὰς ἔδωκε θεοὺς τοὺς δώδεκα. Καὶ τούτων δικαζόντων ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος. Ὅθεν Ἀθηνᾶ ἀφ᾽ ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας. Καὶ τοῦτο δηλοῖ τὸ Ἔρις. Πάλιν. Ἄρης ἐξ Ἀγραύλου θυγατρὸς Κέκροπος ἔσχεν Ἀλκίππην· ταύτην βιαζόμενος Ἁλιρρόθιος ὁ Ποσειδῶνος καὶ Νύμφης Εὐρύτης, φωραθείς, ὑπὸ Ἄρεως κτείνεται. Ποσειδῶν δὲ ἐν Ἀρείῳ πάγῳ κρίνεται, δικαζόντων τῶν δώδεκα θεῶν Ἄρη· καὶ ἀπολύεται. Ἀπολλόδ. Γ.

5. Ὅτι ἐν ἐκείνῳ τῷ χρόνῳ) Οἱ γὰρ Ἀθηναῖοι πρώτους αὑτοὺς ἀνθρώπους ἐνόμιζον, τὸν Ἐριχθόνιον ἐκ γῆς ἀναδοθῆναι λέγοντες· ὅθεν καὶ Λουκιανὸς ἐν τῷ φιλοψευδ. λέγει. »Πῶς οὐ γελοῖον, »εἰ Ἀθηναῖοι τὸν Ἐριχθόνιον ἐκ γῆς ἀ»ναδοθῆναί φασι, καὶ τοὺς πρώτους ἀν»θρώπους ἐκ τῆς Ἀττικῆς ἀναφῆναι.» Ὅθεν καὶ γηγενεῖς καὶ αὐτόχθονες ἐλέγοντο. Οἶμαι δὲ τοῦτο σχεῖν τοὔνομα διὰ τὸ ἀστασίαστον εἶναι τὴν χώραν, ὡς Θουκυδίδης Α. β΄. φησί, πρῶτοι βεβαίως οἰκήσαντες, τέχνας τε καὶ ἐπιστήμας κοσμήσαντες, τῆς λοιπῆς γῆς, οἷα ὑπὸ θηρίων οἰκουμένης, στασιαζούσης, καὶ ἀκαλλιέργου οὔσης.

6. Ὧ καὶ γυνή) Ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἐν τοῖς μαστοῖς γάλακτος γινώσκεται, ἤτοι γνήσιον ἢ ὑποβολιμαῖον ἔχει τὸ παιδίον, οὕτω καὶ αἱ Ἀθῆναι, ἐπειδὴ ἐν αὐταῖς πρῶτον ἐργασία γῆς ἐξεύρηται, καὶ πυρῶν καὶ κριθῶν καρπὸς ἔφυ, τροφὴ ἀνθρώπων, γνήσια καὶ ἐξ αὐτῶν ἔχουσι γεγεννημένα τὰ τέκνα.

τῶν πυρῶν καὶ κριθῶν καρπὸν, ᾧ κάλλιστα καὶ ἄριστα τρέ-
φεται τὸ ἀνθρώπειον γένος, ὡς τῷ ὄντι τοῦτο τὸ ζῶον αὕτη γεν-
νησαμένη. Μᾶλλον δὲ ὑπὲρ γῆς ἢ γυναικὸς προσήκει δέχεσθαι 8
τοιαῦτα τεκμήρια. Οὐ γὰρ γῆ γυναῖκα μεμίμηται κυήσει καὶ
γεννήσει, ἀλλὰ γυνὴ γῆν. Τούτου δὲ τοῦ καρποῦ οὐκ ἐφθόνη-
σεν, ἀλλ' ἔνειμε καὶ τοῖς ἄλλοις. Μετὰ δὲ τοῦτο ἐλαίου γένε-
σιν, πόνων ἀρωγὴν, ἀνῆκε τοῖς ἐγγόνοις. Θρεψαμένη δὲ καὶ 9
αὐξήσασα πρὸς ἥβην, ἄρχοντας καὶ διδασκάλους αὐτῶν θε-
οὺς ἐπηγάγετο· ὧν τὰ μὲν ὀνόματα πρέπει ἐν τῷ τοιῷδε ἐᾶν.
Ἴσμεν γὰρ οἳ τὸν βίον ἡμῶν κατεσκεύασαν, πρός τε τὴν καθ'
ἡμέραν δίαιταν τέχνας πρώτους παιδευσάμενοι, καὶ πρὸς τὴν
ὑπὲρ τῆς χώρας φυλακὴν ὅπλων κτῆσίν τε καὶ χρῆσιν διδαξάμενοι.

ε'. Γεννηθέντες δὲ καὶ παιδευθέντες οὕτως οἱ τῶνδε πρόγονοι,
ᾤκουν πολιτείαν κατασκευασάμενοι, ἧς ὀρθῶς ἔχει διὰ βραχέων
ἐπιμνησθῆναι. Πολιτεία γὰρ τροφὴ ἀνθρώπων ἐστί· καλὴ μὲν,
ἀγαθῶν· ἡ δὲ ἐναντία, κακῶν. Ὡς οὖν ἐν καλῇ πολιτείᾳ ἐ- 2
τράφησαν οἱ πρόσθεν ἡμῶν, ἀναγκαῖον δηλῶσαι, δι' ἣν δὴ κἀ-
κεῖνοι ἀγαθοὶ καὶ οἱ νῦν εἰσι, ὧν οἵδε τυγχάνουσιν ὄντες οἱ τε-
τελευτηκότες. Ἡ γὰρ αὐτὴ πολιτεία καὶ τότε ἦν καὶ νῦν ἀρι- 3
στοκρατία, ἐν ᾗ νῦν τε πολιτευόμεθα, καὶ τὸν ἀεὶ χρόνον ἐξ ἐ-
κείνου ὡς τὰ πολλά. Καλεῖ δὲ ὁ μὲν αὐτὴν, δημοκρατίαν, ὁ
δὲ, ἄλλο, ᾧ ἂν χαίρῃ· ἔστι δὲ τῇ ἀληθείᾳ, μετ' εὐδοξίας πλή-
θους ἀριστοκρατία. Βασιλεῖς μὲν γὰρ ἀεὶ ἡμῖν εἰσιν· οὗτοι δὲ, 4
τοτὲ μὲν ἐκ γένους, τοτὲ δὲ αἱρετοί· ἐγκρατὲς δὲ τῆς πόλεως
τὰ πολλὰ τὸ πλῆθος· τὰς δὲ ἀρχὰς δίδωσι καὶ κράτος τοῖς ἀεὶ
δόξασιν ἀρίστοις εἶναι· καὶ οὔτε ἀσθενείᾳ, οὔτε πενίᾳ, οὔτ' ἀ-
γνωσίᾳ πατέρων, ἀπελήλαται οὐδεὶς, οὐδὲ τοῖς ἐναντίοις τετί-
μηται, ὥσπερ ἐν ἄλλαις πόλεσιν· ἀλλὰ εἷς ὅρος, ὁ δόξας σοφὸς 5

---

8. Μᾶλλον δὲ) Καὶ περὶ γῆς μᾶλλον ἢ περὶ γυναικὸς προσήκει· καὶ τλ.

— Ἐλαίου γένεσιν) Ἀθηνᾶς ἐλαίαν φυτευσάσης ἐν τῇ Ἀττικῇ, ὡς ἐν 3. Σημ. εἴρηται, πόνων ἀρωγὴν, διὰ τὸ ἀλείφεσθαι ἐν τοῖς ἀγῶσιν ἐλαίῳ.

9. Ὧν τὰ ὀνόματα) Καὶ γὰρ ἡ μὲν Ἀθηνᾶ ἐδιδάξατο τὸν Ἐριχθόνιον ἐν τῷ τεμένει ἀναθρεψαμένη. Πανδίονος δὲ τοῦ Ἐριχθονίου βασιλεύοντος Ἀθήνησιν, ἡ Δημήτηρ, καὶ ὁ Διόνυσος εἰς Ἀττικὴν ἦλθον, καὶ γεωργίαν καὶ ἀμπελουργίαν ἐδιδάξαντο· καὶ ὅσα ἄλλα οἱ μῦθοι λέγουσιν· ὅρα καὶ Ἀπολλόδ. Γ.

ε'. Οὕτως) Αὐτόχθονες μὲν γεννηθέντες, ὑπὸ θεῶν δὲ παιδευθέντες.

2. Ὧν οἵδε) Ὧν προγόνων ἔκγονοι εἰσὶν οἵδε, περὶ ὧν ὁ λόγος.

3. Ἀριστοκρατ.) Ἐπεξηγηματικῶς εἰς τὸ Πολιτεία· οἷον· ἡ αὐτὴ ἦν καὶ τότε πολιτεία, καὶ νῦν ἐστι· δηλ. ἀριστοκρατία.

— Ἄλλο, ᾧ ἂν χαίρῃ) Ὀνόματι καλεῖν αὐτήν.

4. Ἐγκρατὲς) Τὸ πλῆθος κατὰ τὰ πολλὰ ἔστιν ἐγκρατὲς τῆς πόλεως. Ὅπερ ἐστίν· ἐν πολλοῖς ἰσχύει τὸ πλῆθος· δίδωσι δὲ τοιαύτας ἀρχὰς, καὶ πρὸς τούτοις καὶ ἰσχὺν ἐκείνοις, ὅσοι ἀεὶ δοκοῦσιν ἄριστοι εἶναι.

—Τοῖς ἐναντίοις) Δυνάμει δηλ. πλούτῳ, καὶ τῷ ἐπισήμῳ τῶν πατέρων.

ἢ ἀγαθὸς εἶναι, κρατεῖ καὶ ἄρχει. Αἰτία δὲ ἡμῖν τῆς πολιτείας
6 ταύτης, ἡ ἐξ ἴσου γένεσις. Αἱ μὲν γὰρ ἄλλαι πόλεις ἐκ παντο-
δαπῶν κατασκευασμέναι ἀνθρώπων εἰσὶ καὶ ἀνωμάλων· ὥστε
αὐτῶν ἀνώμαλοι καὶ αἱ πολιτεῖαι, τυραννίδες τε καὶ ὀλιγαρχίαι.
7 Οἰκοῦσιν οὖν, ἔνιοι μὲν δούλους, οἱ δὲ, δεσπότας ἀλλήλους νο-
μίζοντες· ἡμεῖς δὲ καὶ οἱ ἡμέτεροι, μιᾶς μητρὸς πάντες ἀδελφοὶ
φύντες, οὐκ ἀξιοῦμεν δοῦλοι οὐδὲ δεσπόται ἀλλήλων εἶναι· ἀλλ'
ἡ ἰσογονία ἡμᾶς ἡ κατὰ φύσιν ἰσονομίαν ἀναγκάζει ζητεῖν κατὰ
νόμον, καὶ μηδενὶ ἄλλῳ ὑπείκει ἀλλήλοις, ἢ ἀρετῆς δόξῃ καὶ
8 φρονήσεως. Ὅθεν δὴ ἐν πάσῃ ἐλευθερίᾳ τεθραμμένοι οἱ τῶνδε
πατέρες, καὶ οἱ ἡμέτεροι, καὶ αὐτοὶ οὗτοι, καὶ καλῶς φύντες,
πολλὰ δὴ καὶ καλὰ ἔργα ἀπεφήναντο εἰς πάντας ἀνθρώπους καὶ
ἰδίᾳ καὶ δημοσίᾳ· οἰόμενοι δεῖν ὑπὲρ τῆς ἐλευθερίας καὶ Ἕλλη-
σιν ὑπὲρ Ἑλλήνων μάχεσθαι, καὶ Βαρβάροις ὑπὲρ ἁπάντων
τῶν Ἑλλήνων.

ς'. Εὐμόλπου μὲν οὖν καὶ Ἀμαζόνων ἐπιστρατευσάντων ἐ-
πὶ τὴν χώραν, καὶ τῶν ἔτι προτέρων, ὡς ἠμύναντο, καὶ ὡς
ἤμυναν Ἀργείοις πρὸς Καδμείους, καὶ Ἡρακλείδας πρὸς Ἀρ-
γείους, ὅ,τε χρόνος βραχὺς ἀξίως διηγήσασθαι, ποιηταί τε αὐ-
τῶν ἤδη καλῶς τὴν ἀρετὴν ἐν μουσικῇ ὑμνήσαντες, εἰς πάν-
τας μεμηνύκασιν. Ἐὰν οὖν ἡμεῖς ἐπιχειρῶμεν τὰ αὐτὰ λόγῳ
2 ψιλῷ κοσμεῖν, τάχ' ἂν δεύτεροι φαινοίμεθα. Ταῦτα μὲν οὖν
διὰ ταῦτα δοκεῖ μοι ἐᾷν, ἐπειδὴ καὶ ἔχει τὴν ἀξίαν. Ὧν δὲ
οὔτε ποιητής πω, δόξαν ἀξίαν ἐπ' ἀξίοις λαβὼν ἔχει, ἔτι τέ ἐ-

---

ς'. Εὐμόλ. Ἀμαζ.) Εὔμολπος μὲν βασιλεὺς Θρᾳκῶν ἐλθὼν, μετὰ πολλῆς δυνάμεως εἰς Ἐλευσῖνα βοηθὸς κατὰ Ἀθηναίων, ἡττηθεὶς ὑπὸ Ἐρεχθέως βασιλέως Ἀθηναίων, ἀνῃρέθη. Ἀπολλόδ. Γ'. Ἀμαζόνες Ἄρεως θυγατέρες, παρὰ τὸν Θερμώδοντα οἰκοῦσαι ποταμὸν, παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν τοὺς Σκύθας, ἐστράτευσαν ἐπὶ τὰς Ἀθήνας· αὐτοῦ δὲ ἀποθανοῦσαι καὶ δοῦσαι δίκην, ἀθάνατον μνήμην κατέλιπον τοῖς Ἀθηναίοις. Λυσίας Ἐπίτ. β'. Ἰσοκρ. Πανηγ. ιθ'. . . μς'.

— Καὶ τῶν ἔτι προτέρ.) Τὸν Ἐριχθόνιον ἴσως λέγει· πρὸς Λάβδακον περὶ γῆς ὅρων πολεμήσαντα μετὰ Τηρέως τοῦ Ἄρεως Θρᾳκῶν βασιλέως, καὶ νικήσαντα Λάβδακον. Ἀπολλόδ. Γ'.

— Καὶ ὡς ἤμυναν Ἀργ.) Ἀργείων καὶ Θηβαίων τῶν Καδμείων πολεμησάντων, ἡττήθησαν Ἀργεῖοι. Κρέων δὲ τότε Θηβαίων βασιλεύων ἔῤῥιψε τοὺς Ἀργείων νεκροὺς ἀτάφους, Ἄδραστος δ' Ἀργείων βασιλεὺς, εἰς Ἀθήνας ἀφικόμενος, ἠξίου θάπτειν τοὺς νεκρούς· οἱ δὲ Ἀθηναῖοι μετὰ Θησέως στρατεύσαντες αἱροῦσι Θήβας, καὶ τοὺς νεκροὺς τοῖς οἰκείοις διδόασι θάπτειν. Ἀπολλόδ. Γ'. Λυσίας Ἐπιτάφ. γ'.

— Καὶ Ἡρακλείδ.) Οἱ Ἡρακλέους παῖδες ὑπὸ Εὐρυσθέως φοβηθέντος μὴ τῆς βασιλείας ἐκπέσῃ, Ἀργείων καὶ ἐν Μυκήναις βασιλεύοντος, ἐδιώχθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος, οὓς μόνοι οἱ Ἀθηναῖοι παρεδέξαντο. Εὐρυσθεὺς δὲ ἐστράτευσεν ἐπ' αὐτοὺς μετὰ πολλῆς δυνάμεως· οἱ δὲ Ἡρακλεῖδαι, βοηθούντων αὐτοῖς Ἀθηναίων, ἐνίκησαν τὸν Εὐρυσθέα. Λυσίας Ἐπιτάφ. δ'. Διόδ. Σικελ. Δ'. νζ'. Τὸ δὲ Ἀμύνασθαι τὸ κακῶς παθόντα ἀντιδιατιθέναι δηλοῖ.

— Ποιηταί τε) Εὐριπίδ. Σοφοκλ. Αἰσχύλ. καὶ ὅσοι ἐν τραγῳδίαις τὰ τῶν παλαιῶν ὕμνησαν.

στιν ἐν ἀμνηστίᾳ τούτων πέρι μοι δοκεῖ χρῆναι ἐπιμνησθῆναι,
ἐπαινοῦντά τε καὶ προμνώμενον τοῖς ἄλλοις, ἐς ᾠδάς τε καὶ
τὴν ἄλλην ποίησιν αὐτοὺς θεῖναι, πρεπόντως τῶν πραξάντων.
Ἔστι δὲ τούτων ὧν λέγω πρῶτα, Πέρσας ἡγουμένους τῆς 3
Ἀσίας, καὶ δουλουμένους τὴν Εὐρώπην, ἔσχον οἱ τῆσδε τῆς
χώρας ἔκγονοι, γονεῖς δὲ ἡμέτεροι. Ὧν καὶ δίκαιον καὶ χρὴ
πρῶτον μεμνημένους, ἐπαινέσαι αὐτῶν τὴν ἀρετήν. Δεῖ δὴ αὐ- 4
τὴν ἰδεῖν, εἰ μέλλει τις καλῶς ἐπαινεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ
γενόμενον λόγῳ, ὅτε πᾶσα μὲν ἡ Ἀσία ἐδούλευε τρίτῳ ἤδη βα-
σιλεῖ· ὧν ὁ μὲν πρῶτος, Κῦρος, ἐλευθερώσας Πέρσας τοὺς αὐ-
τοῦ πολίτας τῷ αὐτοῦ φρονήματι, ἅμα καὶ τοὺς δεσπότας Μή-
δους ἐδουλώσατο, καὶ τῆς ἄλλης Ἀσίας μέχρις Αἰγύπτου ἦρ-
ξεν· ὁ δὲ υἱὸς αὐτοῦ, Αἰγύπτου τε καὶ Λιβύης ὅσον οἷόν τε ἦν 5
ἐπιβαίνειν· τρίτος δὲ, Δαρεῖος, πεζῇ μὲν μέχρι Σκυθῶν τὴν ἀρχὴν
ὡρίσατο, ναυσὶ δὲ, τῆς τε θαλάττης ἐκράτησε καὶ τῶν νήσων·
ὥστε μηδὲ ἀξιοῦν ἀντίπαλον αὐτῷ μηδένα εἶναι. Αἱ δὲ γνῶ-
μαι δεδουλωμέναι ἁπάντων ἀνθρώπων ἦσαν. Οὕτω πολλὰ καὶ 6
μεγάλα καὶ μάχιμα γένη καταδεδουλωμένη ἦν ἡ Περσῶν ἀρχή.
ζ. Αἰτιασάμενος δὲ Δαρεῖος ἡμᾶς τε καὶ Ἐρετριέας, Σάρ-
δεσιν ἐπιβουλεῦσαι προφασιζόμενος, πέμψας μυριάδας μὲν πεν-
τήκοντα ἔν τε πλοίοις καὶ ναυσὶ, ναῦς δὲ τριακοσίας, Δᾶτιν δὲ
ἄρχοντα, εἶπεν ἥκειν ἄγοντα Ἐρετριέας καὶ Ἀθηναίους, εἰ βού-
λοιτο τὴν ἑαυτοῦ κεφαλὴν ἔχειν. Ὁ δὲ πλεύσας εἰς Ἐρέτριαν 2
ἐπ' ἄνδρας οἳ τῶν τότε Ἑλλήνων ἐν τοῖς εὐδοκιμωτάτοις ἦσαν
τὰ πρὸς τὸν πόλεμον, καὶ οὐκ ὀλίγοι, τούτους ἐχειρώσατο μὲν
ἐν τρισὶν ἡμέραις· διηρευνήσατο δὲ αὐτῶν πᾶσαν τὴν χώραν,
ἵνα μηδεὶς ἀποφύγοι, τοιούτῳ τρόπῳ· ἐπὶ τὰ ὅρια ἐλθόντες τῆς 3
Ἐρετρικῆς οἱ στρατιῶται αὐτοῦ, ἐκ θαλάττης εἰς θάλατταν
διαστάντες, συνάψαντες τὰς χεῖρας, διῆλθον ἅπασαν τὴν χώ-
ραν, ἵν' ἔχοιεν τῷ βασιλεῖ εἰπεῖν ὅτι οὐδεὶς σφᾶς ἀποπεφευ-

---

3. Ἔσχον οἱ τῆσδε) Δᾶτιν τε τὸν στρατηγὸν Δαρείου Περσῶν βασιλέως ἐν Μαραθῶνι νικήσαντες· καὶ Ξέρξην αὐτὸν ἐν Ἀρτεμισίῳ, Σαλαμῖνι, καὶ τὸν Μαρδόνιον ἐν Πλαταιαῖς.

4. Ὅτε μὲν) Ὁ Μὲν παρέλκει· ἢ βεβαιωτικός ἐστιν ἀντὶ τοῦ Μήν.

5. Ὁ δὲ υἱὸς αὐτοῦ) Τοῦ Κύρου ὁ Καμβύσης δηλ. ἦρξεν Αἰγύπτου.

ζ. Προφασιζ.) Οἱ γὰρ Ἀθηναῖοι καὶ Ἐρετριεῖς βοηθοῦντες Μιλησίοις, ὧν ἡγεῖτο Ἀρισταγόρας, ἔπεμψαν ναῦς, μεθ' ὧν οἱ Ἴωνες εἰς Ἔφεσον ἐλθόντες, ἐκεῖθεν εἰς Σάρδεις ἐπορεύθησαν, καὶ ἐνέπρησαν αὐτάς. Ἡρόδ. Τερψιχ. υιθ . . . ρέ.

— Ἥκειν ἄγοντα) Τοιαύτην ἔλαβε Δᾶτις προσταγὴν ὑπὸ Δαρείου πάντας Ἐρετριέας καὶ Ἀθηναίους δεσμίους πρὸς αὐτὸν ἀγαγεῖν. Ἡρόδ. Ἐρατ. υιδ'.

2. Ἐν τοῖς εὐδοκιμωτ.) Ἀντὶ Εὐδοκιμώτατοι. Σύνηθες δὲ τούτῳ· οὕτω γὰρ καὶ τὸ, λιθοξόος ἐν τοῖς μάλιστα εὐδόκιμος, τοῦ Λουκιαν. Ἐνύπν. ἀντὶ εὐδοκιμώτατος.

— Τὰ πρὸς τὸν πόλ.) Κατὰ τὰ πρὸς τὸν πόλεμον· κατὰ τὰ πολεμικά.

4 γὼς εἴη. Τῇ δ' αὐτῇ διανοίᾳ κατηγάγοντο ἐξ Ἐρετρίας εἰς Μαραθῶνα, ὡς ἕτοιμον σφίσιν ὄν, καὶ Ἀθηναίους ἐν τῇ αὐτῇ ταύτῃ ἀνάγκῃ ζεύξαντας Ἐρετριεῦσιν, ἄγειν. Τούτων δὲ, τῶν μὲν πραχθέντων, τῶν δ' ἐπιχειρουμένων, οὔτ' Ἐρετριεῦσιν ἐβοήθησεν Ἑλλήνων οὐδεὶς, οὔτε Ἀθηναίοις, πλὴν Λακεδαιμο-
5 νίων. Οὗτοι δὲ τῇ ὑστεραίᾳ τῆς μάχης ἀφίκοντο· οἱ δ' ἄλλοι πάντες ἐκπεπληγμένοι, ἀγαπῶντες τὴν ἐν τῷ παρόντι σωτηρίαν,
6 ἡσυχίαν ἦγον. Ἐν τούτῳ δὴ ἄν τις γενόμενος γνοίη οἷοι ἄρα ἐτύγχανον ὄντες τὴν ἀρετὴν οἱ Μαραθῶνι δεξάμενοι τὴν τῶν Βαρβάρων δύναμιν, καὶ κολασάμενοι τὴν ὑπερηφανίαν ὅλης
7 τῆς Ἀσίας· καὶ πρῶτοι στήσαντες τρόπαια τῶν Βαρβάρων· ἡγεμόνες καὶ διδάσκαλοι τοῖς ἄλλοις γενόμενοι ὅτι οὐκ ἄμαχος εἴη ἡ Περσῶν δύναμις, ἀλλὰ πᾶν πλῆθος καὶ πᾶς πλοῦτος ἀ-
8 ρετῇ ὑπείκει. Ἐγὼ μὲν οὖν ἐκείνους τοὺς ἄνδρας φημὶ οὐ μόνον τῶν σωμάτων τῶν ἡμετέρων πατέρας εἶναι, ἀλλὰ καὶ τῆς ἐλευθερίας τῆς τε ἡμετέρας καὶ ξυμπάντων τῶν ἐν τῇδε τῇ ἡ-
9 πείρῳ. Εἰς ἐκεῖνο γὰρ τὸ ἔργον ἀποβλέψαντες καὶ τὰς ὑστέρας μάχας ἐτόλμησαν διακινδυνεύειν οἱ Ἕλληνες ὑπὲρ τῆς
10 σωτηρίας, μαθηταὶ τῶν Μαραθῶνι γενόμενοι. Τὰ μὲν οὖν ἀριστεῖα τῷ λόγῳ ἐκείνοις ἀναθετέον, τὰ δὲ δευτερεῖα, τοῖς περὶ Σαλαμῖνα καὶ ἐπ' Ἀρτεμισίῳ ναυμαχήσασι καὶ νικήσασι.

η'. Καὶ γὰρ τούτων τῶν ἀνδρῶν πολλὰ μὲν ἄν τις ἔχοι διελθεῖν, καὶ οἷα ἐπιόντα ὑπέμειναν κατά τε γῆν καὶ κατὰ θά-

---

3. Ἀποφευγὼς εἴη) Ἀποφεύγοι· ἀπέφυγε δηλ. αὐτούς.

4. Ὡς ἕτοιμον σφίσιν ὄν) Τῶν ἀπροσώπων ῥημάτων αἱ μετοχαὶ ἀπολύτως συντάσσονται, καθ' ἕνα σχηματισμὸν λεγόμεναι.

— Ζεύξαντας) Ἐρετριέα καὶ Ἀθηναῖον· ὡς ὑπὸ ζυγὸν εἰς μίαν ἅλυσιν δεσμεύσαντας.

5. Τῇ ὑστεραίᾳ) Νόμος ἦν Λακεδαιμονίοις μὴ εἰς πόλεμον ἐξάγειν, εἰμὴ πανσέληνος ᾖ· διὰ τοῦτο καὶ ὑστερήσαντες ἦλθον μετὰ τὴν μάχην τὴν ἑπομένην ἡμέραν.

— Ἡσυχίαν ἦγον) Ἡσύχαζον· κατὰ περίφρασιν.

6. Οἱ Μαραθῶνι) Ἐλλείπει ἡ Ἐν.

— Ὅλης τῆς Ἀσίας) Τοῦ Δαρείου βασιλεύοντος τότε ἁπάσης τῆς Ἀσίας, ἤγουν τῶν κατοικούντων ἐν τῇ Ἀσίᾳ.

7. Καὶ πρῶτοι στήσ.) Ἀπὸ γὰρ Κύρου τοῦ καθελόντος Μήδους καὶ τοὺς Πέρσας ἐλευθερώσαντος, μέχρι τῆς ἐν Μαραθῶνι μάχης νικῶντες οἱ Πέρσαι διετέλουν· πρῶτοι δὲ Ἀθηναῖοι ἐν Μαραθῶνι ἐνίκησαν αὐτοὺς Μιλτιάδους στρατηγοῦντος.

8. Ἀλλὰ καὶ τῆς Ἐλευθ.) Πατέρας εἶναι ἀπὸ κοινοῦ.

9. Γενόμενοι) Θεμιστοκλῆς γὰρ ὁ ἐν Σαλαμῖνι νικήσας Ξέρξην, οὐδὲ καθεύδειν ἠδύνατο λέγων· ὅτι οὐκ ἐῴη αὐτὸν καθεύδειν τὸ Μιλτιάδου τρόπαιον· οὕτω φιλότιμοι πάντες ἐγένοντο ἐξ ἐκείνης τῆς μάχης.

10. Τοῖς περὶ Σαλαμ.) Ἐλθόντος γὰρ Ξέρξου σὺν πολλαῖς μυριάσι στρατοῦ, καὶ νεῶν εἰς Ἑλλάδα, καὶ πᾶσαν μονονοὺκ χειρώσαντος, μόνοι Ἀθηναῖοι ἐνίκησαν ναυμαχήσαντες, κατὰ τὰ στενὰ, πρῶτον μὲν ἐν Ἀρτεμισίῳ τῷ περὶ τὴν Εὔβοιαν· δεύτερον δὲ περὶ Σαλαμῖνα τὴν ἀπέναντι Ἀθηνῶν. Θεμιστοκλέους στρατηγοῦντος· καὶ τὴν ναυμαχίαν οὕτω διατάττοντος γενέσθαι.

η'. Ἐπιόντα) Συμβάντα, παρακολουθήσαντα.

λατταν, καὶ ὡς ἠμύναντο ταῦτα. Ὃ δέ μοι δοκεῖ καὶ ἐκείνων
κάλλιστον εἶναι, τούτου μνησθήσομαι, ὅτι τὸ ἑξῆς ἔργον τοῖς
Μαραθῶνι διεπράξαντο. Οἱ μὲν γὰρ Μαραθῶνι τοσοῦτον μό- 2
νον ἐπεδείξαντο τοῖς Ἕλλησιν, ὅτι κατὰ γῆν οἷόν τε ἀμύνασθαι
τοὺς Βαρβάρους ὀλίγοις πολλούς· ναυσὶ δὲ ἔτι ἦν ἄδηλον. Καὶ
δόξαν εἶχον Πέρσαι ἄμαχοι εἶναι κατὰ θάλατταν, καὶ πλή-
θει καὶ πλούτῳ, καὶ τέχνῃ καὶ ῥώμῃ. Τοῦτο δὴ ἄξιον ἐπαι- 3
νεῖν τῶν ἀνδρῶν τῶν τότε ναυμαχησάντων, ὅτι τὸν ἐχόμενον
φόβον διέλυσαν τῶν Ἑλλήνων, καὶ ἔπαυσαν φοβουμένους πλῆ-
θος νεῶν τε καὶ ἀνδρῶν. Ὑπ᾽ ἀμφοτέρων δὴ ξυμβαίνει, τῶν 4
τε Μαραθῶνι μαχεσαμένων καὶ τῶν ἐν Σαλαμῖνι ναυμαχησάν-
των, παιδευθῆναι τοὺς ἄλλους Ἕλληνας, ὑπὸ μὲν τῶν, κατὰ
γῆν, ὑπὸ δὲ τῶν, κατὰ θάλατταν, μαθόντας καὶ ἐθισθέντας
μὴ φοβεῖσθαι τοὺς Βαρβάρους. Τρίτον δὲ λέγω τὸ ἐν Πλαταιαῖς 5
ἔργον καὶ ἀριθμῷ καὶ ἀρετῇ γενέσθαι τῆς Ἑλληνικῆς σωτη-
ρίας, κοινὸν ἤδη τοῦτο Λακεδαιμονίων τε καὶ Ἀθηναίων. Τὸ 6
μὲν οὖν μέγιστον καὶ χαλεπώτατον οὗτοι πάντες ἤμυναν, καὶ
διὰ ταύτην τὴν ἀρετὴν νῦν τε ὑφ᾽ ἡμῶν ἐγκωμιάζονται, καὶ
εἰς τὸν ἔπειτα χρόνον ὑπὸ τῶν ὕστερον. Μετὰ δὲ τοῦτο, πολ- 7
λαὶ μὲν πόλεις τῶν Ἑλλήνων ἔτι ἦσαν μετὰ τοῦ Βαρβάρου,
αὐτὸς δὲ ἠγγέλετο βασιλεὺς διανοεῖσθαι ὡς ἐπιχειρήσων πάλιν
ἐπὶ τοὺς Ἕλληνας.

Θ΄. Δίκαιον δὴ καὶ τούτων ἡμᾶς ἐπιμνησθῆναι, οἳ τοῖς τῶν
προτέρων ἔργοις τέλος τῆς σωτηρίας ἐπέθεσαν, ἀνακαθηράμενοι
καὶ ἐξελάσαντες πᾶν τὸ βάρβαρον ἐκ τῆς θαλάττης. Ἦσαν δὲ 2
οὗτοι οἵ τε ἐπ᾽ Εὐρυμέδοντι ναυμαχήσαντες, καὶ οἱ εἰς Κύπρον
στρατεύσαντες, καὶ οἱ εἰς Αἴγυπτον πλεύσαντες, καὶ ἄλλοσε

— Καὶ ὡς ἠμύναντο ταῦτα) Καὶ τίνα τρόπον ἠμύναντο τὰ ἐπιόντα ταῦτα.

— Ὅτι τὸ ἑξῆς ἔργον τοῖς) Τὸ ἑπόμενον τοῖς μαχεσαμένοις ἐν Μαραθ.

2. Ὀλίγοις) Σὺν ὀλίγοις δηλ.

5. Τὸ ἐν Πλαταιαῖς) Ἡττηθεὶς γὰρ Ξέρξης κατὰ θάλασσαν ἐν Σαλαμῖνι κατὰ κράτος, Θεμιστοκλέους μηνύσαντος, ὅτι οἱ Ἕλληνες διανοοῦνται τὴν κατὰ τὸν Ἑλλήσποντον γέφυραν διαλῦσαι, φοβηθεὶς ἀνεχώρησε, Μαρδόνιον ἐάσας μετὰ πλήθους στρατοῦ· ὃν οἱ Ἕλληνες πολλῷ ἥττονες ὄντες, κατὰ κράτος ἐν Πλαταιαῖς νικήσαντες μάχῃ, πᾶσαν τὴν Ἑλλάδα ἐλευθέραν κατέστησαν ἀπὸ τῶν Βαρβάρων.

7. Αὐτὸς δὲ ἠγγέλ.) Ἦν γὰρ λόγος ὅτι ὁ βασιλεὺς Περσῶν διενοεῖτο ἵνα πάλιν ἐπιχειρήσῃ κατὰ τῶν Ἑλλήνων.

Θ΄. 2. Ἐπ᾽ Εὐρυμέδοντι) Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος, ἐνίκησαν Ἀθηναῖοι καὶ οἱ σύμμαχοι τοὺς Πέρσας ἐν ποταμῷ Εὐρυμέδοντι τῷ κατὰ τὴν Παμφυλίαν τῆς Ἀσίας ἀντίπεραν Κύπρου πρὸς βοῤῥάν. Τότε γὰρ Κίμων νικήσας πρῶτον ναυμαχίᾳ τοὺς βαρβάρους, καὶ τὰς ναῦς αὐτῶν λαβών, τοὺς ἑαυτοῦ στρατιώτας Περσικαῖς στολαῖς ἐνδυσάμενος, ἀπέβη εἰς Κύπρον, καὶ αἴφνης τὸ τῶν βαρβάρων στρατόπεδον καταλαβὼν μηδὲ προσδοκώντων, ἄλλως τε καὶ διὰ τὰς ἐσθῆτας Πέρσας βοήθειαν αὐτοῖς ἐρχομένην οἰομένων. Κἀκεῖθεν μετὰ ταῦτα καὶ εἰς Αἴγυπτον ἐστράτευσαν καὶ ἄλλοσε πολλαχόσε. Θουκ. Α΄. ρ . . ρι.

πολλαχόσε· ὧν χρὴ μεμνῆσθαι, καὶ χάριν αὐτοῖς εἰδέναι ὅτι
βασιλέα ἐποίησαν, δείσαντα, τῇ ἑαυτοῦ σωτηρίᾳ τὸν νοῦν προ-
3 σέχειν, ἀλλὰ μὴ τῇ τῶν Ἑλλήνων ἐπιβουλεύειν φθορᾷ. Καὶ οὗ-
τος μὲν δὴ πάσῃ τῇ πόλει διηντλήθη ὁ πόλεμος, ὑπὲρ ἑ-
4 αυτῶν τε καὶ τῶν ἄλλων ὁμοφώνων πρὸς τοὺς Βαρβάρους. Εἰ-
ρήνης δὲ γενομένης, καὶ τῆς πόλεως τιμωμένης, ἦλθεν ἐπ' αὐ-
τήν, ὃ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπί-
πτειν, πρῶτον μὲν, ζῆλος, ἀπὸ ζήλου δὲ φθόνος. Ὃ καὶ τήν δε
τὴν πόλιν ἄκουσαν ἐν πολέμῳ τοῖς Ἕλλησι κατέστησε.

ι. Μετὰ δὲ τοῦτο γενομένου πολέμου, συνέβαλον μὲν ἐν Τα-
νάγρᾳ, ὑπὲρ τῆς Βοιωτῶν ἐλευθερίας Λακαιδεμονίοις μαχόμε-
νοι· ἀμφισβητησίμου δὲ τῆς μάχης γενομένης, διέκρινε τὸ ὕ-
2 στερον ἔργον. Οἱ μὲν γὰρ ᾤχοντο ἀπιόντες, καταλιπόντες Βοιω-
τοὺς, οἷς ἐβοήθουν· οἱ δ' ἡμέτεροι, τρίτῃ ἡμέρᾳ ἐν Οἰνοφύτοις
3 νικήσαντες, τοὺς ἀδίκως φεύγοντας, δικαίως κατήγαγον. Οὗτοι
δὴ πρῶτοι μετὰ τὸν Περσικὸν πόλεμον, Ἕλλησιν ἤδη ὑπὲρ
τῆς ἐλευθερίας βοηθοῦντες πρὸς Ἕλληνας, ἄνδρες ἀγαθοὶ γενό-
μενοι, καὶ ἐλευθερώσαντες οἷς ἐβοήθουν, ἐν τῷδε τῷ μνήματι
4 τιμηθέντες ὑπὸ τῆς πόλεως πρῶτοι ἐτέθησαν. Μετὰ δὲ ταῦτα
πολλοῦ πολέμου γενομένου, καὶ πάντων τῶν Ἑλλήνων ἐπιστρα-
τευσάντων, καὶ τεμόντων τὴν χώραν, καὶ ἀναξίαν χάριν ἐκτι-
νόντων τῇ πόλει, νικήσαντες αὐτοὺς ναυμαχίᾳ οἱ ἡμέτεροι, καὶ
λαβόντες αὐτῶν τοὺς ἡγεμόνας Λακεδαιμονίους ἐν τῇ Σφαγίᾳ,
ἐξὸν αὐτοῖς διαφθεῖραι, ἐφείσαντο, καὶ ἀπέδοσαν, καὶ εἰρήνην
ἐποιήσαντο· ἡγούμενοι πρὸς μὲν τὸ ὁμόφυλον μέχρι νίκης δεῖν
πολεμεῖν, καὶ μὴ δι' ὀργὴν ἰδίαν πόλεως, τὸ κοινὸν τῶν Ἑλ-
λήνων διολλύναι· πρὸς δὲ τοὺς Βαρβάρους, μέχρι διαφθορᾶς.

---

3. Καὶ οὗτος μὲν δὴ) Ὅσπερ ἐστί. Σύμπαντα ἡ πόλις ἐξαντλήσασα πάντα τὰ ἑαυτῆς διήνυσε τοῦτον τὸν πόλεμον ὑπέρ τε τῶν πολιτῶν αὐτῶν καὶ τῶν συμμάχων. Ἡ δὲ λέξις Διηντλήθη ἐκ μεταφορᾶς εἴρηθη τῶν φρεάτων· δηλοῦσα ὅτι καὶ αἷμα, καὶ δαπάναι, καὶ πάντα χρήματα διήντλησεν ἡ πόλις.

4. Ὃ καὶ τήν δε) φθονήσαντες γὰρ οἱ Λακεδαιμόνιοι μὴ οἱ Ἀθηναῖοι ἐν παντὶ εὐδοκιμοῦντες, περιγένωνται ἁπάντων τῶν Ἑλλήνων, πόλεμον πρὸς αὐτοὺς ἐποιήσαντο.

ι. Ἐν Τανάγρᾳ) Ὅρα περὶ τούτου καὶ Θουκυδ. Α'. ρζ. ρη.

2. Οἱ μὲν γὰρ ᾤχοντο) Οἱ Λακεδαίμονες βοηθοὶ Βοιωτῶν.

— Δικαίως κατήγ.) Οὓς δηλ. Λακεδαιμόνιοι πρότερον ἐφυγάδευσαν.

3. Οἷς ἐβοήθ.) Βοιωτοῖς καὶ Φωκεῦσι.

4. Καὶ ἀναξίαν χάριν ἐκτ.) Πανταχόθεν γὰρ οἱ Ἕλληνες ἀποστάντες κατὰ τῆς Ἀττικῆς ἐφέροντο. Θουκυδ. Α'. ριγ'. . . ριζ.

— Ἐν τῇ Σφαγίᾳ) Νήσῳ καὶ Σφακτηρίᾳ καλουμένη. Δημοσθένης γὰρ καταλαβὼν Πύλον, καὶ τειχίσας, Λακεδαιμονίων οὖσαν, ἐπολιορκεῖτο πανταχόθεν ὑπὸ Λακεδαιμονίων· καὶ νήσου δὲ Σφαγίας ἐρήμου οὔσης ἀντίπεραν Πύλου, οἱ Λακεδαιμόνιοι ἐμβιβάσαντες ἄνδρας ἐπ' αὐτήν, ἐφρούρουν. Κίμων δὲ ἐλθὼν μετὰ στρατιᾶς τῶν ἀνδρῶν τούτων τοὺς πλείστους ζῶντας εἰς Ἀθήνας ἠγάγετο·

Τούτους δὴ ἄξιον ἐπαινέσαι τοὺς ἄνδρας, οἳ τοῦτον τὸν πόλεμον πολεμήσαντες, ἐνθάδε κεῖνται, ὅτι ἐπέδειξαν, εἴτις ἄρα ἠμφισβήτει, ὡς ἐν τῷ προτέρῳ πολέμῳ τῷ πρὸς τοὺς βαρβάρους, ἄλλοι τινὲς εἶεν ἀμείνους Ἀθηναίων, ὅτι οὐκ ἀληθῆ ἀμφισβητοῖεν. 5
Οὗτοι γὰρ ἐνταῦθα ἔδειξαν, στασιασάσης τῆς Ἑλλάδος περιγενόμενοι τῷ πολέμῳ, τοὺς προεστῶτας τῶν ἄλλων Ἑλλήνων χειρωσάμενοι, μεθ᾽ ὧν τότε τοὺς βαρβάρους ἐνίκων κοινῇ, τούτους νικῶντας ἰδίᾳ. 6

ιά. Τρίτος δὲ πόλεμος μετὰ ταύτην τὴν εἰρήνην ἀνέλπιστός τε καὶ δεινὸς ἐγένετο· ἐν ᾧ πολλοὶ καὶ ἀγαθοὶ τελευτήσαντες, ἐνθάδε κεῖνται· πολλοὶ μὲν ἀμφὶ Σικελίαν πλεῖστα τρόπαια στήσαντες, ὑπὲρ τῆς Λεοντίνων ἐλευθερίας, οἷς βοηθοῦντες διὰ τοὺς ὅρκους, ἔπλευσαν εἰς ἐκείνους τοὺς τόπους. 2
Διὰ δὲ μῆκος τοῦ πλοῦ εἰς ἀπορίαν τῆς πόλεως καταστάσης, καὶ οὐ δυναμένης αὐτοῖς ὑπηρετεῖν, τούτῳ ἀπειπόντες, ἐδυστύχησαν. Ὧν οἱ ἐχθροὶ καὶ προσπολεμήσαντες πλείω ἔπαινον ἔχουσι σωφροσύνης καὶ ἀρετῆς, ἢ τῶν ἄλλων οἱ φίλοι· 3
πολλοὶ δ᾽ ἐν ταῖς ναυμαχίαις ταῖς καθ᾽ Ἑλλήσποντον, μιᾷ ἡμέρᾳ πάσας τὰς τῶν πολεμίων ἑλόντες ναῦς, πολλὰς δὲ καὶ ἄλλας νικήσαντες. Ὃ δ᾽ εἶπον δεινὸν καὶ ἀνέλπιστον τοῦ πολέμου γενέσθαι, τόδε λέγω, τὸ εἰς τοσοῦτον φιλονεικίας ἐλθεῖν πρὸς τὴν πόλιν τοὺς ἄλλους Ἕλληνας, ὥστε τολμῆσαι τῷ ἐχθίστῳ ἐπικηρυκεύσασθαι βασιλεῖ, ὃν κοινῇ ἐξέβαλον μεθ᾽ ἡμῶν, ἰδίᾳ τοῦτον πάλιν ἐπάγεσθαι Βάρβαρον ἐφ᾽ Ἕλληνας, καὶ συναθροῖσαι ἐπὶ τὴν πόλιν πάντας Ἕλληνάς τε καὶ Βαρβάρους. 4
Οὗ δὴ καὶ ἐκφανὴς ἐγένετο ἡ τῆς πόλεως ῥώμη τε καὶ ἀρετή. Οἰομένων γὰρ ἤδη αὐτὴν 5

---

οὓς δὴ, εἰρήνης γενομένης, ἀπέδωκαν Ἀθηναῖοι Θουκυδ. Δ΄. γ΄. . . μά, καὶ ριζ΄.

6. Τῷ πολέμῳ) Ἐν τῷ πολέμ.

— Τοὺς προεστῶτ.) Τοὺς Λακεδαιμονίους νικήσαντες, καὶ ζῶντας λαβόντες τοὺς ἐν τῇ Σφακτηρίᾳ.

ιά. 2. Ὑπὲρ Λεοντίνων ἐλευθ.) Ἔπεμψαν γὰρ Ἀθηναῖοι ἐκστρατείαν εἰς Σικελίαν ὑπὲρ Λεοντίνων ἐλευθερίας, καταπολεμουμένων ὑπὸ Συρακουσίων, Ἀλκιβιάδους γνώμῃ. Ἔνθα κατ᾽ ἀρχὰς μὲν εὐτύχουν, ἔπειτα δὲ ἐδυστύχησαν ἀπειπόντ.

3. Ὧν οἱ ἐχθροί, καὶ προσπ.) Τούτων δὲ οἱ ἐχθροί, καὶ ἔτι μὴ καταπαύσαντες τὸν πόλεμον, πλείω παρέχουσιν ἔπαινον τῆς σωφροσύνης καὶ ἀρετῆς, ἢ ὅσον ἔπαινον παρέχουσιν οἱ φίλοι τῶν ἄλλων. Τὸ δ᾽ Ἔχω ὅτι ἐστὶν ἀντὶ τοῦ Παρέχω δῆλον καὶ ἐκ τοῦ Θουκυδ. Β΄. μά. »Καὶ μόνη (ἡ τῶν Ἀθηναίων πόλις) »οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει, ὑφ᾽ οἵων κακοπαθεῖ. Οὔτε τῷ »ὑπηκόῳ κατάμεμψιν, ὡς οὐχ ὑπ᾽ ἀξίων ἄρχεται, ὅπερ ἐστιν. Μόνη ἡ Ἀθηναίων πόλις οὐ παρέχει ἀγανάκτησιν τῷ πολεμίῳ ἐπελθόντι, ὡς εἰδότι ὅτι ὑπὸ μεγάλων τινῶν κακοπαθεῖ· οὔτε παρέχει αἰτίαν τῷ ὑπηκόῳ καταμέμφεσθαι, ὡς ἀναξίων ὄντων τῶν ἀρχόντων.

— Μιᾷ ἡμέρᾳ) Ἐν Προικοννήσῳ. Ἀλκιβιάδους στρατηγοῦντος. Ξενοφ. Ἑλλην. Α΄. ά. 12.

4. Τῷ ἐχθίστῳ ἐπικηρ.) Οἱ γὰρ Λακεδαιμόνιοι συνεμάχησαν κατὰ τῶν Ἀθηναίων τῷ βασιλεῖ τῶν Περσῶν Θουκυδ. Η΄. ιή.

5. Οὗ δὴ) Ἐξ οὗ δή. — Καὶ Ἀπειλημμένων ἐν Μιτυλ.) Ξενοφ. Ἑλλην.

καταπεπολεμῆσθαι, καὶ ἀπειλημμένων ἐν Μιτυλήνῃ τῶν νεῶν, βοηθήσαντες ἑξήκοντα ναυσίν, αὐτοὶ ἐμβάντες εἰς τὰς ναῦς, καὶ ἄνδρες γενόμενοι ὁμολογουμένως ἄριστοι, νικήσαντες μὲν τοὺς πολεμίους, λυσάμενοι δὲ τοὺς φιλίους, ἀναξίου τύχης τυχόντες, οὐκ ἀναιρεθέντες ἐκ τῆς θαλάττης, κεῖνται ἐνθάδε· ὧν
6 χρὴ ἀεὶ μεμνῆσθαί τε καὶ ἐπαινεῖν. Τῇ μὲν γὰρ ἐκείνων ἀρετῇ ἐνικήσαμεν οὐ μόνον τὴν τότε ναυμαχίαν, ἀλλὰ καὶ τὸν ἄλλον πόλεμον. Δόξαν γὰρ δι' αὐτοὺς ἡ πόλις ἔσχε, μήποτ' ἂν καταπολεμηθῆναι μεθ' ὑπὸ πάντων ἀνθρώπων. Καὶ ἀληθῆ ἔ-
7 δοξε. Τῇ δὲ ἡμετέρᾳ αὐτῶν διαφορᾷ ἐκρατήθημεν, οὐχ ὑπὸ τῶν ἄλλων. Ἀήττητοι γὰρ ἔτι καὶ νῦν ὑπό γε ἐκείνων ἐσμέν· ἡμεῖς δὲ αὐτοὶ ἡμᾶς αὐτοὺς καὶ ἐνικήσαμεν, καὶ ἡττήθημεν.
8 Μετὰ δὲ ταῦτα ἡσυχίας γενομένης, καὶ εἰρήνης πρὸς τοὺς ἄλλους, ὁ οἰκεῖος ἡμῖν πόλεμος οὕτως ἐπολεμήθη, ὥστε εἴπερ εἱμαρμένον εἴη ἀνθρώποις στασιάσαι, μὴ ἂν ἄλλως εὔξασθαι
9 μηδένα πόλιν ἑαυτοῦ νοσῆσαι. Ἔκ τε γὰρ τοῦ Πειραιέως καὶ τοῦ ἄστεος ὡς ἀσμένως καὶ οἰκείως ἀλλήλοις συνέμιξαν οἱ πολῖται, καὶ παρ' ἐλπίδα τοῖς ἄλλοις Ἕλλησι, τόν τε πρὸς τοὺς ἐν Ἐλευσῖνι πόλεμον ὡς μετρίως ἔθεντο. Καὶ τούτων ἁπάν-
10 των οὐδὲν ἄλλ' αἴτιον, ἢ τῷ ὄντι ξυγγένεια, φιλίαν βέβαιον καὶ ὁμόφυλον οὐ λόγῳ ἀλλ' ἔργῳ παρεχομένη.

ιβ'. Χρὴ δὲ καὶ τῶν ἐν τούτῳ τῷ πολέμῳ τελευτησάντων ὑπ' ἀλλήλων μνείαν ἔχειν, καὶ διαλλάττειν αὐτούς, ᾧ δυνάμεθα, εὐχαῖς καὶ θυσίαις ἐν τοῖς τοιοῖσδε τοῖς κρατοῦσιν αὐτῶν εὐχομένους, ἐπειδὴ καὶ ἡμεῖς διηλλάγμεθα. Οὐ γὰρ κακίᾳ ἀλ-
2 λήλων ἥψαντο, οὐδ' ἔχθρᾳ, ἀλλὰ δυστυχίᾳ. Μάρτυρες δὲ ἡμεῖς αὐτοὶ ἐσμὲν τούτων, οἱ ζῶντες. Οἱ αὐτοὶ γὰρ ὄντες ἐκείνοις γένει, συγγνώμην ἀλλήλοις ἔχομεν ὧν τ' ἐποιήσαμεν, ὧν

---

Α'. ς'. 24. ἐν γὰρ Μιτυλήνῃ ἐνίκησαν μὲν Λακεδαιμονίους Ἀθηναῖοι, τοὺς δὲ ἑαυτῶν νεκροὺς διὰ τὸν χειμῶνα οὐκ ἠδυνήθησαν ἀνελεῖν καὶ θάψαι.

7. Ἐκρατήθημ.) Στασιαζόντων γὰρ ἡμῶν καὶ διαφερομένων, τάς τε ναῦς εἷλον Λακεδαιμόνιοι ἐν Αἰγὸς ποταμοῖς καὶ τὴν πόλιν ὑφ' ἑαυτῶν ἐποιήσαντο· οὐ τῇ ἐκείνων ἀρετῇ. Ξενοφ. Ἑλλην. Β'. α'. 12. καὶ β'. 13, 14.

— Ἀήττητοι) Θρασυβούλου γὰρ τὴν πόλιν ἐλευθερώσαντος, ἀήττητοι ὑπὸ Λακεδαιμονίων ἑξῆς ἦσαν Ἀθηναῖοι.

8. Ἐπολεμήθη) Θρασύβουλος μετὰ ἑβδομήκοντα ἐκ Φυλῆς χώρας ὁρμήσας τὸν Πειραιᾶ κατέσχε, καὶ οἱ ἐν ἄστει ἐπολέμουν αὐτῷ Λακεδαιμονίους βοηθοὺς ἐπικαλεσάμενοι· νικήσας δὲ Θρασύβουλος, συναντιλαμβανομένου Παυσανίου τοῦ Λακεδαιμονίων βασιλέως, ἀνῆλθεν εἰς ἄστυ· καὶ τὰ ἀρχαῖα νόμιμα κατέστησε, καὶ πρὸς τοὺς εἰς Ἐλευσῖνα καταφυγόντας διηλλάξατο· Ξενοφ. Ἑλλην. Β'. δ'. 3. . . 30.

10 Οὐδὲν ἄλλο αἴτιον ἢ ξυγ.) Συνέβησαν γὰρ πρὸς ἀλλήλους οἵ τε ἐν Πειραιεῖ, καὶ οἱ ἐν ἄστει εὐχερῶς, ὁμοίως δὲ καὶ οἱ ἐν Ἐλευσῖνι διὰ τὸ ξυγγενές, καὶ τλ.

— Βέβαιον) Ἀττικῶς ἀντὶ Βεβαίαν.

ιβ'. Ὧ δυνάμεθα) Τούτῳ τῷ τρόπῳ, καθ' ὃν δυνάμεθα διαλλάττειν αὐ-

τ' ἐπάθομεν. Μετὰ δὲ τοῦτο παντελοῦς εἰρήνης ἡμῖν γενομένης, 3
ἡσυχίαν ἦγεν ἡ πόλις, τοῖς μὲν βαρβάροις συγγινώσκουσα, ὅτι
παθόντες ὑπ' αὐτῆς κακῶς ἱκανῶς, οὐκ ἐνδεῶς ἠμύνοντο· τοῖς
δὲ Ἕλλησιν ἀγανακτοῦσα, μεμνημένη ὡς εὖ παθόντες ὑπ' αὐ-
τῆς, οἵαν χάριν ἀπέδοσαν, κοινωσάμενοι τοῖς βαρβάροις, τάς
τε ναῦς περιελόμενοι, αἵ ποτ' ἐκείνους ἔσωσαν, καὶ τείχη κα-
θελόντες, ἀνθ' ὧν ἡμεῖς τἀκείνων ἐκωλύσαμεν πεσεῖν. Διανοου-
μένη δὲ ἡ πόλις μὴ ἂν ἔτι ἀμῦναι μήτε Ἕλλησι πρὸς ἀλλή- 4
λων δουλουμένοις, μήτε ὑπὸ βαρβάρων, οὕτως ᾤκει. Ἡμῶν οὖν
ἐν τοιαύτῃ διανοίᾳ ὄντων, ἡγησάμενοι Λακεδαιμόνιοι τοὺς μὲν
τῆς ἐλευθερίας ἐπικούρους πεπτωκέναι ἡμᾶς, σφέτερον δὲ ἤδη
ἔργον εἶναι καταδουλοῦσθαι τοὺς ἄλλους, ταῦτ' ἔπραττον.

ιγ΄. Καὶ μηκύνειν μὲν τί δεῖ; Οὐ γὰρ πάλαι οὐδὲ πολλῶν
ἀνθρώπων γεγονότα λέγοιμ' ἂν τὰ μετὰ ταῦτα. Αὐτοὶ γὰρ ἴ-
σμεν ὡς ἐκπεπληγμένοι ἀφίκοντο εἰς χρείαν τῆς πόλεως τῶν 2
τε Ἑλλήνων οἱ πρῶτοι, Ἀργεῖοι, καὶ Βοιωτοί, καὶ Κορίνθιοι·
καὶ τό γε θειότατον πάντων, τὸ καὶ βασιλέα εἰς τοῦτο ἀπο-
ρίας ἀφικέσθαι, ὥστε περιστῆναι αὐτῷ μηδαμόθεν ἄλλοθεν τὴν
σωτηρίαν γενέσθαι ἀλλ' ἢ ἐκ ταύτης τῆς πόλεως, ἣν προθύ-
μως ἀπώλλυ. Καὶ δὴ καὶ εἴτις βούλοιτο τῆς πόλεως κατη- 3
γορῆσαι δικαίως, τοῦτ' ἂν μόνον λέγων ὀρθῶς ἂν κατηγοροῖ,
ὡς ἀεὶ λίαν φιλοικτήρμων ἐστί, καὶ τοῦ ἥττονος θεραπίς. Καὶ
δὴ καὶ ἐν τῷ τότε χρόνῳ οὐχ οἵα τε ἐγένετο καρτερῆσαι, οὐδὲ 4
διαφυλάξαι, ἃ ἐδέδοκτο αὐτῇ, τὸ μηδενὶ δουλουμένῳ βοηθεῖν
τῶν σφᾶς ἀδικησάντων· ἀλλὰ ἐκάμφθη, καὶ ἐβοήθησε, καὶ τοὺς
μὲν Ἕλληνας αὐτὴ βοηθήσασα ἀπελύσατο δουλείας, ὥστ' ἐλευ-
θέρους εἶναι, μέχρις οὗ πάλιν αὐτοὶ αὐτοὺς κατεδουλώσαντο.
Βασιλεῖ δὲ αὐτὴ μὲν οὐκ ἐτόλμησε βοηθῆσαι, αἰσχυνομένη τὰ
τρόπαια τά τε Μαραθῶνι καὶ Σαλαμῖνι καὶ Πλαταιαῖς. Φυ- 5
γάδας δὲ καὶ ἐθελοντὰς ἐάσασα μόνον βοηθῆσαι, ὁμολογουμέ-

---

τῶν τὰς ψυχάς, ἐπειδὴ πρὸς ἀλλήλους ἐμαχέσαντο. Ἀθηναῖοι δηλ. πρὸς Ἀθηναίους. Εἶτ' οὖν εὐχόμενοι, διαλλάξομεν αὐτούς, προσφέροντες εὐχὰς καὶ θυσίας. Νόμος γὰρ παρ' Ἀθηναίοις ἦν, εἴτις τινὰ ἀκουσίως κτείνειε, θυσίαις καὶ εὐχαῖς διαλλάττεσθαι· διὰ ταῦτα ἐνταῦθα λέγει· ἐπειδὴ οὐ κακίᾳ οὐδ' ἔχθρᾳ πρὸς ἀλλήλους ἐν τοῖς πολέμοις τούτοις Ἀθηναῖοι ἐφονεύθησαν, εὐχαῖς καὶ θυσίαις ἐξιλάσασθαι.

4. Ταῦτ' ἔπραττον) Κατεδουλοῦντο δηλ. τοὺς Ἕλληνας.

ιγ΄. 2. Καὶ τό γε θειότατον πάντων) Ἀγησιλάου γὰρ ἐν Ἀσίᾳ ὑπὲρ τῶν ἐκεῖ ἑλλήνων στρατεύσαντος, καὶ νικῶντος, ὁ τῶν Περσῶν βασιλεὺς ἄλλους τε τῶν Ἑλλήνων εἰς συμμαχίαν ἐκαλέσατο καὶ Ἀθηναίους. Ξενοφ. Ἑλλην. Γ΄. ἑ. Ἐκ τούτου οὖν πάλιν πόλεμος Ἑλλήνων ἐγένετο πρὸς Ἕλληνας, οἷς ἐβοήθουν Ἀθηναῖοι. Ξενοφ. Ἑλλην. Δ΄. ἑ.

3. Καὶ τοῦ ἥττονος θεραπ.) Καὶ θεραπεύει, περιποιεῖται τὸ ἧττον μέρος.

5. Τά τε Μαραθῶνι) Ἐλλείπει ἡ Ἐν. — Ἔσωτε) Τὸν βασιλέα δηλ.

6 νως ἔσωσε· τειχισαμένη δὲ καὶ ναυπηγησαμένη, ἐκδεξαμένη τὸν πόλεμον, ἐπειδὴ ἠναγκάσθη πολεμεῖν, ὑπὲρ Παρίων ἐπολέμει Λακεδαιμονίοις.

ιδ'. Φοβηθεὶς δὲ βασιλεὺς τὴν πόλιν, ἐπειδὴ ἑώρα Λακεδαιμονίους τῷ κατὰ θάλατταν πολέμῳ ἀπαγορεύοντας, ἀποστῆναι βουλόμενος ἐξῄτει τοὺς Ἕλληνας, τοὺς ἐν τῇ ἠπείρῳ (οὕσπερ πρότερον Λακεδαιμόνιοι αὐτῷ ἐξέδοσαν, εἰ μέλλοι συμμαχήσειν ἡμῖν τε καὶ τοῖς ἄλλοις συμμάχοις) ἡγούμενος οὐκ
2 ἐθελήσειν, ἵν' αὐτῷ πρόφασις εἴη τῆς ἀποστάσεως. Καὶ τῶν μὲν ἄλλων συμμάχων ἐψεύσθη, (ἠθέλησαν γὰρ αὐτῷ ἐκδιδόναι, καὶ ξυνέθεντο καὶ ὤμοσαν, Κορίνθιοι, καὶ Ἀργεῖοι, καὶ Βοιωτοί, καὶ ἄλλοι σύμμαχοι, εἰ μέλλοι χρήματα παρέξειν, ἐκδώσειν τοὺς ἐν τῇ ἠπείρῳ Ἕλληνας) μόνοι δὲ ἡμεῖς οὐκ ἐτολ-
3 μήσαμεν, οὔτε ἐκδοῦναι, οὔτε ὀμόσαι. Οὕτω δή τοι τό γε τῆς πόλεως γενναῖον καὶ ἐλεύθερον, βέβαιόν τε καὶ ὑγιές ἐστι καὶ φύσει μισοβάρβαρον, διὰ τὸ εἰλικρινῶς εἶναι Ἕλληνες καὶ ἀ-
4 μιγεῖς βαρβάρων. Οὐ γὰρ Πέλοπες, οὐδὲ Κάδμοι, οὐδὲ Αἴγυπτοί τε καὶ Δαναοί, οὐδὲ ἄλλοι πολλοί, φύσει μὲν βάρβαροι ὄντες, νόμῳ δὲ Ἕλληνες, συνοικοῦσιν ἡμῖν, ἀλλ' αὐτοὶ Ἕλ-
5 ληνες, οὐ μιξοβάρβαροι, οἰκοῦμεν. Ὅθεν καθαρὸν τὸ μῖσος ἐντέτηκε τῇ πόλει τῆς ἀλλοτρίας φύσεως· ὅμως δ' οὖν ἐμονώθημεν πάλιν, διὰ τὸ μὴ θέλειν αἰσχρὸν καὶ ἀνόσιον ἔργον ἐργάσα-
6 σθαι, Ἕλληνας βαρβάροις ἐκδόντες. Ἐλθόντες δὲ εἰς ταῦτα, ἐξ ὧν καὶ τοπρότερον κατεπολεμήθημεν, σὺν θεῷ ἄμεινον ἢ τότε ἐθέμεθα τὸν πόλεμον. Καὶ γὰρ ναῦς καὶ τείχη ἔχοντες, καὶ τὰς ἡμετέρας αὐτῶν ἀποικίας, ἀπηλλάγημεν τοῦ πολέμου.
7 Οὕτως ἀγαπητῶς ἀπηλλάττοντο καὶ οἱ πολέμιοι. Ἀνδρῶν μέντοι ἀγαθῶν καὶ ἐν τούτῳ τῷ πολέμῳ ἐστερήθημεν, τῶν τε ἐν

---

ιδ'. 3. Διὰ τὸ εἰλικριν.) Ὡς γηγενεῖς καὶ αὐτόχθονες.

4. Οὐ γὰρ Πέλοπ.) Πέλοψ γὰρ ἐκ Λυδίας ἐλθὼν ᾤκισεν Ἦλιδα. Κάδμος δὲ, ἐκ Φοινίκης, Θήβας. Δαναὸς δὲ ἐξ Αἰγύπτου, Ἄργος· μεθ' ὃν ἐβασίλευσεν ὁ τοῦ ἀδελφοῦ αὐτοῦ Αἰγύπτου υἱὸς Λυγκεύς· τῶν γὰρ πεντήκοντα τοῦ Δαναοῦ θυγατέρων δι' ἐπιταγῆς τοῦ πατρὸς κτεινασῶν τοὺς νυμφίους υἱοὺς Αἰγύπτου, μόνη ἡ Ὑπερμνήστρα οὐκ ἔκτεινε Λυγκέα· ὅθεν καὶ βασιλεὺς μετὰ Δαναὸν τοῦ Ἄργους κατέστη. Ἀπολλοδ. Β'. Ἐνταῦθα δὲ οὐ λέγει ὅτι Κέκροψ ἐξ Αἰγύπτου ἐλθὼν ᾤκησεν Ἀθήνας, ἣν γὰρ ἡ Ἀθηναίων πόλις βασιλευομένη ὑπὸ Ἀκταίου οὗ τῇ θυγατρὶ συνοικῶν Κέκροψ διεδέξατο τὴν ἀρχὴν ὃν διεδέξατο πάλιν Κραναὸς αὐτόχθων.

6. Ἐλθόντες εἰς ταῦτα) Τὰ αἴτια δηλ. περὶ τῶν ἐσχάτων φισὶ πολέμων.

7. Καὶ ἐν τούτῳ τῷ πολέμῳ) Τῷ μετὰ τῶν συμμάχων κατὰ Λακεδαιμονίων γινομένῳ. Ἀθηναῖοι γὰρ, Ἀργεῖοι, Βιωτοί, καὶ Κορίνθιοι, διαφθαρέντες χρήμασιν ὑπὸ Περσῶν βασιλέως κατὰ Λακεδαιμονίων πόλεμον ἐποιήσαντο. Κορινθίων τῶν εἰρήνης αἰτίων φονευθέντων, καὶ πολλῶν φυγαδευθέντων, οἱ φυγάδες μετὰ Λακεδαιμονίων ἐπὶ τὸ Λέχαιον ναύσταθμον Κορινθίων ἐλθόντες, νυκτὸς κατὰ κράτος εἷλον, καὶ τοὺς ἐπεξελθόντας ἐνίκησαν. Διόδωρ. Σικελ. ΙΔ'. πς'. — Καὶ οἱ βασιλ.) Λακεδαιμόνιοι ἐν

Κορίνθῳ χρησαμένων δυσχωρίᾳ καὶ ἐν Λεχαίῳ, προδοσίᾳ. Ἀγαθοὶ δὲ καὶ οἱ βασιλέα ἐλευθερώσαντες, καὶ ἐκβαλόντες ἐκ τῆς θαλάττης Λακεδαιμονίους. Ὧν ἐγὼ μὲν ὑμᾶς ἀναμιμνήσκω, 8
ὑμᾶς δὲ πρέπει ξυνεπαινεῖν τε καὶ κοσμεῖν τοιούτους ἄνδρας.

ιε΄. Καὶ τὰ μὲν δὴ ἔργα ταῦτα τῶν ἀνδρῶν τῶν ἐνθάδε κειμένων, καὶ τῶν ἄλλων, ὅσοι ὑπὲρ τῆς πόλεως τετελευτήκασι, πολλὰ μὲν τὰ εἰρημένα καὶ καλά, πολὺ δ᾽ ἔτι πλείω καὶ καλλίω τὰ ὑπολειπόμενα· πολλαὶ γὰρ ἂν ἡμέραι καὶ νύκτες οὐχ ἱκαναὶ γένοιντο τῷ τὰ πάντα μέλλοντι παραινεῖν. Τούτων οὖν
χρὴ μεμνημένους, τοῖς τούτων ἐκγόνοις πάντ᾽ ἄνδρα παρακε- 2
λεύεσθαι, ὥσπερ ἐν πολέμῳ μὴ λείπειν τὴν τάξιν τὴν τῶν προ-
γόνων, μηδ᾽ εἰς τοὐπίσω ἀναχωρεῖν ἥκοντας κάκῃ. Ἐγὼ μὲν 3
οὖν καὶ αὐτός, ὦ παῖδες ἀνδρῶν ἀγαθῶν, νῦν τε παρακελεύομαι, καὶ ἐν τῷ λοιπῷ χρόνῳ, ὅπου ἄν τῳ ἐντυγχάνω ὑμῶν, καὶ ἀναμνήσω καὶ διακελεύσομαι προθυμεῖσθαι εἶναι ὡς ἀρίστους.
Ἐν δὲ τῷ παρόντι δίκαιός εἰμι εἰπεῖν ἃ οἱ πατέρες ἡμῖν ἐπέ- 4
σκηπτον ἀπαγγέλειν τοῖς λειπομένοις, εἴτι πάσχοιεν, ἡνίκα κιν-
δυνεύειν ἔμελλον. Φράσω δὲ ὑμῖν ἅ τε αὐτῶν ἤκουσα ἐκείνων, 5
καὶ οἷα νῦν ἡδέως ἂν εἴποιεν ὑμῖν, λαβόντες δύναμιν· τεκμαιρόμενος ἐξ ὧν τότε ἔλεγον.

ις΄. Ἀλλὰ νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων ἃ ἂν ἀπαγ-
γέλλω. Ἔλεγον δὲ τάδε, Ὦ παῖδες, ὅτι μὲν ἐστε πατέρων ἀ- 2
γαθῶν, αὐτὸ μηνύει τὸ νῦν παρόν· ἡμῖν δὲ ἐξὸν ζῆν μὴ καλῶς, καλῶς αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ἡμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ὀνείδη καταστῆσαι, καὶ πρὶν τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι· ἡγούμενοι τῷ τοὺς αὐτοῦ αἰσχύνοντι ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτε τινα ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι, οὔτ᾽ ἐπὶ γῆς, οὔθ᾽ ὑπὸ γῆς, τελευτήσαντι.
Χρὴ οὖν, μεμνημένους τῶν ἡμετέρων λόγων, ἐάν τι καὶ ἄλλο ἀ- 3
σκῆται, ἀσκεῖν μετ᾽ ἀρετῆς· εἰδότας ὅτι τούτου λειπόμενα πάντα
καὶ κτήματα καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ κακά. Οὔτε γὰρ 4
πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ, μετ᾽ ἀνανδρίας, (ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ, καὶ οὐχ ἑαυτῷ) οὔτε σώματος κάλλος

---

Κνίδῳ, ἡγουμένου Κόνωνος τοῦ Περσικοῦ στόλου, νικηθέντες παρέλιπον τὴν τῆς θαλάσσης ἡγεμονίαν τοῖς Ἀθηναίοις. Διόδωρ. Σικελ. ΙΔ΄. πδ΄.

ιε΄. 4. Ἃ οἱ πατέρες ἡμῖν ἐπέσκ.) Συνεβούλευον ἡμῖν ἀπαγγέλλει ὑμῖν τοῖς λειπομένοις.

5. Λαβόντες δύν.) τοῦ λέγειν, εἰ ἦν αὐτοῖς ἀναστῆναι ἐκ τῶν νεκρῶν.

ις΄. 2. Μὴ καλῶς) Αἰσχρῶς δηλ. καὶ δουλοπρεπῶς.

— Ἡγούμενοι τῷ) Ἡγούμενοι ὅτι ἔστιν ἀβίωτον, εἴ τις αἰσχύνοι τοὺς ἑαυτοῦ.

3. Τούτου λειπόμ.) Πάντα εἰσὶν αἰσχρὰ καὶ κακά, ἐὰν λείπωνται τούτου· δηλ. τῆς ἀρετῆς ἀπούσης, τὰ πάντα εἰσιν αἰσχρά.

4. Ἄλλῳ γὰρ, ὁ τοιοῦτ.) Δι᾽ ἄλλον, οὐ

καὶ ἰσχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, ἀλλ᾽ ἀπρεπῆ· καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα, καὶ ἐκφαίνει τὴν δειλίαν. Πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἀλ-
5 λης ἀρετῆς, πανουργία, οὐ σοφία φαίνεται. Ὧν ἕνεκα καὶ πρῶτον καὶ ὕστατον καὶ διὰ παντὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθε ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ· εἰδὲ μή, ἴστε ὡς ἡμῖν, ἂν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει, ἡ δὲ ἧττα, ἐὰν ἡττώμε-
6 θα, εὐδαιμονίαν. Μάλιστα δ᾽ ἂν νικῴμεθα, καὶ ὑμεῖς νικῶντες, εἰ παρασκευάσαισθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι, μηδ᾽ ἀναλώσαντες αὐτήν· γνόντες ὅτι ἀνδρὶ οἰομένῳ τι εἶναι, οὐκ ἔστιν αἴσχιον ἢ παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι᾽ ἑαυ-
7 τόν, ἀλλὰ διὰ δόξαν προγόνων. Εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις, καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής· χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε
8 καὶ εὐδοξιῶν. Καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε, φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν δὴ ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ· ἀμελήσαντας δὲ ὑμᾶς, καὶ κακισθέντας οὐδεὶς εὐμενῶς ὑποδέξεται. Τοῖς μὲν οὖν παισὶ ταῦτ᾽ εἰρήσθω.

ιζ΄. Πατέρας δὲ ἡμῶν, οἷς εἰσί, καὶ μητέρας ἀεὶ χρὴ παραμυθεῖσθαι, ὡς χρὴ ῥᾷστα φέρειν τὴν συμφοράν, ἐὰν ἄρα ξυμβῇ γενέσθαι, καὶ μὴ ξυνοδύρεσθαι· (οὐ γὰρ τοῦ λυπήσοντος προσδεήσονται· ἱκανὴ γὰρ ἔσται καὶ ἡ γενομένη τύχη τοῦτο πορίζεσθαι) ἀλλ᾽ ἰωμένους καὶ πραΰνοντας, ἀναμιμνήσκειν αὐτούς, ὅτι ὧν εὔχονται, τὰ μέγιστα αὐτοῖς οἱ θεοὶ ἐπήκοοι γε-
2 γόνασιν. Οὐ γὰρ ἀθανάτους σφίσιν παῖδας εὔχοντο γενέσθαι, ἀλλ᾽ ἀγαθοὺς καὶ εὐκλεεῖς· ὧν ἔτυχον, μεγίστων ἀγαθῶν ὄντων.

---

δι᾽ ἑαυτὸν ἔχει ὁ τοιοῦτος τὸν πλοῦτον. — Καὶ ἐπιφανεστ.) Καὶ ἐν ᾧ ἄλλως ἦν αὐτῷ ἀδήλῳ εἶναι εἰ δειλὸς εἴη, ἢ μή· τὸ κάλλος καὶ ἡ ἰσχὺς φανερὰν αὐτοῦ ποιοῦσι τὴν δειλείαν καὶ κακίαν.

5. Ἴστε ὡς ἡμῖν) Ὁ νοῦς. Ἴστε ὡς αἰσχύνην φέρει ἡμῖν τοῖς πατρᾶσιν, ἐὰν βελτίους φανῶμεν ὑμῶν· ὑμεῖς δὲ βελτίους ἡμῶν γενόμενοι, εὐδαίμονας ἡμᾶς ποιεῖτε, μακαριζομένους ἐπὶ τοιούτοις παισί.

6. Μάλιστα δ᾽ ἂν νικ.) Μάλιστα δὲ φέρει ἡμῖν εὐδαιμονίαν ἡ ἧττα· ἐὰν νικώμεθα ἡμεῖς, καὶ ἐὰν ὑμεῖς νικῶντες, οὕτω παρασκευάσησθε, ὥστε μὴ καταχρήσασθαι τῇ δόξῃ τῶν προγόνων, μηδ᾽ ἀναλῶσαι αὐτήν. Τοῦτο δὲ γενήσεται, ἐὰν τοιαύτην ἔννοιαν λάβηται· ὅτι οὐδὲν ἐστὶ ἀνδρὶ· οἰομένῳ εἶναί τι, ἄλλο αἴσχιον ἢ τὸ παρέχειν ἑαυτ.

7. Εἶναι μὲν γὰρ) Τὸ γὰρ εἶναι τιμὰς ἐστὶ καλὸς θησ.

ιζ΄. Πατέρας δὲ ἡμ.) Εἰ χρὴ παραμυθεῖσθαι πατέρας καὶ μητέρας, φημὶ ὅτι χρὴ ῥᾷστα φέρειν τὴν συμφορ. — Οὐ γὰρ προσδεήσ.) Οἱ γονεῖς δηλ. ὁ γὰρ θάνατος τῶν τέκνων ἱκανὸς πορίσασθαι τὴν λύπην. — Ἀλλ᾽ ἰωμέν.) Ἀλλὰ χρὴ ἰωμένους καὶ πραΰν. ἀναμ. αὐτούς. Τοῦτ᾽ ἔστιν.

Πάντα δὲ οὐ ῥᾴδιον θνητῷ ἀνδρὶ κατὰ νοῦν ἐν τῷ ἑαυτοῦ βίῳ
ἐκβαίνειν. Καὶ φέροντες μὲν ἀνδρείως τὰς συμφοράς, δόξουσι τῷ
ὄντι ἀνδρείων παίδων πατέρες εἶναι, καὶ αὐτοὶ τοιοῦτοι· ὑπεί- 3
κοντες δέ, ὑποψίαν παρέξουσιν ἢ μὴ ἡμέτεροι εἶναι, ἢ ἡμῶν
τοὺς ἐπαινοῦντας καταψεύδεσθαι. Χρὴ δὲ οὐδέτερα τούτων· ἀλλ᾽
ἐκείνους μάλιστα πάντων, ἡμῶν ἐπαινέτας εἶναι, ἔργῳ παρέ- 4
χοντας αὐτοὺς φαινομένους τῷ ὄντι πατέρας ὄντας ἄνδρας ἀν-
δρῶν. Πάλαι γὰρ δὴ τὸ Μηδὲν ἄγαν λεγόμενον, καλῶς δο-
κεῖ λέγεσθαι. Τῷ γὰρ ὄντι εὖ λέγεται. Ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυ- 5
τὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα, ἢ ἐγγὺς τούτου,
καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν ἢ εὖ ἢ κακῶς πρα-
ξάντων πλανᾶσθαι ἠνάγκασται καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα πα-
ρασκεύασθαι ζῆν· οὗτός ἐστιν ὁ σώφρων, καὶ οὗτος ὁ ἀνδρεῖος καὶ
φρόνιμος· οὗτος, γιγνομένων χρημάτων καὶ παίδων, καὶ διαφθει-
ρομένων, μάλιστα πείσεται τῇ παροιμίᾳ. Οὔτε γὰρ χαίρων οὔτε 6
λυπούμενος ἄγαν φανήσεται, διὰ τὸ αὐτῷ πεποιθέναι. Τοιούτους δὲ 7
ἡμεῖς γε ἀξιοῦμεν καὶ τοὺς ἡμετέρους εἶναι, καὶ βουλόμεθα, καὶ
φαμέν· καὶ ἡμᾶς αὐτοὺς νῦν παρέχομεν τοιούτους, οὐκ ἀγανα-
κτοῦντας, οὐδὲ φοβουμένους ἄγαν, εἰ δεῖ τελευτᾶν ἐν τῷ παρόντι.

ιή. Δεόμεθα δὴ καὶ πατέρων καὶ μητέρων, τῇ αὐτῇ ταύτῃ
διανοίᾳ χρωμένους τὸν ἐπίλοιπον βίον διάγειν· καὶ εἰδέναι ὅτι
οὐ θρηνοῦντες οὐδὲ ὀλοφυρόμενοι ἡμᾶς, ἡμῖν μάλιστα χαριοῦν-
ται· ἀλλ᾽ εἴ τις ἐστὶ τοῖς τετελευτηκόσιν αἴσθησις τῶν ζώντων,
οὕτως ἀχάριστοι εἶεν ἂν μάλιστα, ἑαυτούς τε κακοῦντες, καὶ
βαρέως φέροντες τὰς ξυμφοράς· κούφως δὲ καὶ μετρίως, μά-
λιστ᾽ ἂν χαρίζοιντο. Τὰ μὲν γὰρ ἡμέτερα τελευτὴν ἤδη ἕξει, 2
ἥπερ καλλίστη γίγνεται ἀνθρώποις· ὥστε πρέπει αὐτὰ μᾶλ-
λον κοσμεῖν ἢ θρηνεῖν. Γυναικῶν δὲ τῶν ἡμετέρων καὶ παί- 3
δων ἐπιμελούμενοι, καὶ τρέφοντες, καὶ ἐνταῦθα τὸν νοῦν τρέ-
ποντες, τῆς τε τύχης μάλιστ᾽ ἂν εἶεν ἐν λήθῃ, καὶ ζῷεν κάλ-

---

Ὅτι οἱ θεοὶ γεγόνασιν ἐπήκοοι αὐτοῖς κατὰ τὰ μέγιστα τῶν, ὅσα εὔχονται θεοῖς ἄνθρωποι.

2. Κατὰ νοῦν) Κατὰ βούλησιν, ἢ κατὰ τὰ αὐτῷ νοούμενα.

3. Ἢ μὴ ἡμέτ.) Τὸ Ἡμέτεροι ἀντὶ ἐκ τῶν ἡμετέρων· ἢ ὅτι οὐκ εἰσὶν ἐκ τῶν ἡμετέρων, ἢ ὅτι οἱ ἐπαινοῦντες καταψεύδονται ἡμῶν.

5. Μηδὲν ἄγαν) Γνωμικὸν Πιττακοῦ τοῦ ἐκ Μιτυλήνης ἑνὸς τῶν ἑπτὰ σοφῶν τῆς Ἑλλάδος.

— Ὅτῳ γὰρ) Ἄριστα παρεσκεύασται ζῆν ἐκείνῳ τῷ ἀνδρί, ἀφ᾽ οὗ πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα ἐξήρτηται ἢ ἐγγὺς αὐτοῦ ἐστί, καὶ οὐκ αἰωρεῖται ἐν ἄλλοις ἀνθρώποις, ὧν εὐτυχησάντων, ἢ δυστυχησάντων, ἀναγκάζεται καὶ αὐτὸς συνευτυχεῖν, ἢ συνδυστυχεῖν· καὶ οὗτος ἐστὶν ὁ σώφ. καὶ τλ.

7. Εἰ δεῖ τελευτ.) Ἐπειδὴ χρὴ τοῦ παρόντος βίου τέλος ἐπιθεῖναι.

ιή. Ὀλοφυρόμενοι ἡμ.) Δι᾽ ἡμᾶς.

— Οὕτως ἀχάριστοι εἶεν ἂν) Θρηνοῦντες δηλ. πρὸς τοὺς τελευτηκότας εἶεν ἀχάριστοι, καὶ οὐδεμίαν μεγάλην αὐτοῖς ποιοῦσι χάριν.

2. Πρέπει αὐτά) Τὰ ἡμέτερα δηλ.

λιον καὶ ὀρθότερον, καὶ ἡμῖν προσφιλέστερον. Ταῦτα δὴ ἱκανὰ τοῖς ἡμετέροις παρ' ἡμῶν ἀγγέλειν. Τῇ δὲ πόλει παρακε-
5 λευοίμεθ' ἄν, ὅπως ἡμῖν καὶ πατέρων καὶ υἱέων ἐπιμελήσονται, τοὺς μὲν παιδεύοντες κοσμίως, τοὺς δὲ γηροτροφοῦντες ἀξίως· νῦν δὲ ἴσμεν, ὅτι καὶ ἐὰν μὴ ἡμεῖς παρακελευώμεθα, ἱκανῶς ἐπιμελήσεται.

ιθ'. Ταῦτα οὖν, ὦ παῖδες καὶ γονεῖς τῶν τελευτησάντων, ἐκεῖνοί τε ἐπέσκηπτον ἡμῖν ἀπαγγέλλειν, καὶ ἐγὼ ὡς δύναμαι προθυμότατα ἀπαγγέλλω· καὶ αὐτὸς δέομαι ὑπὲρ ἐκείνων, τῶν μέν, μιμεῖσθαι τοὺς αὑτῶν· τῶν δέ, θαῤῥεῖν ὑπὲρ αὑτῶν· ὡς ἡμῶν καὶ ἰδίᾳ καὶ δημοσίᾳ γηροτροφησόντων ὑμᾶς καὶ ἐπιμελησομένων, ὅπου ἂν ἕκαστος ἑκάστῳ ἐντυγχάνῃ ὁτῳοῦν τῶν
2 ἐκείνων. Τῆς δὲ πόλεως ἴστέ που καὶ αὐτοὶ τὴν ἐπιμέλειαν, ὅτι νόμους θεμένη περὶ τοὺς τῶν ἐν τῷ πολέμῳ τελευτησάντων παῖδάς τε καὶ γεννήτορας, ἐπιμελεῖται, καὶ διαφερόντως τῶν ἄλλων πολιτῶν προστέτακται φυλάττειν ἀρχή, ἥπερ μεγίστη ἐστίν, ὅπως ἂν οἱ τούτων μὴ ἀδικῶνται πατέρες τε καὶ μητέ-
3 ρες. Τοὺς δὲ παῖδας συνεκτρέφει αὐτή, προθυμουμένη ὅτι μάλιστ' ἄδηλον αὐτοῖς τὴν ὀρφανίαν γενέσθαι· ἐν πατρὸς σχήματι καταστᾶσα αὐτοῖς αὐτή, ἔτι τε παισὶν οὖσι, καὶ ἐπειδὰν
4 εἰς ἀνδρὸς τέλος ἴωσιν, ἀποπέμπει ἐπὶ τὰ σφέτερ' αὑτῶν, πανοπλίᾳ κοσμήσασα· ἐνδεικνυμένη καὶ ἀναμιμνήσκουσα τὰ τοῦ πατρὸς ἐπιτηδεύματα, ὄργανα τῆς πατρῴας ἀρετῆς διδοῦσα· καὶ ἅμα οἰωνοῦ χάριν ἄρχεσθαι ἰέναι ἐπὶ τὴν πατρῴαν ἑστίαν, ἄρξοντα μετ' ἰσχύος ὅπλοις κεκοσμημένον. Αὐτοὺς δὲ τοὺς τελευτήσαντας τιμῶσα οὐδέποτε ἐκλείπει καθ' ἕκαστον ἐνιαυτόν, αὐτὴ τὰ νομιζόμενα ποιοῦσα κοινῇ πᾶσιν ἅπερ ἰδίᾳ ἑκάστῳ ἰδίᾳ
5 γίγνεται. Πρὸς δὲ τούτοις ἀγῶνας γυμνικοὺς καὶ ἱππικοὺς τιθεῖσα, καὶ μουσικῆς πάσης, καὶ ἀτεχνῶς τῶν μὲν τελευτησάντων, ἐν κληρονόμου καὶ υἱέως μοίρᾳ καθεστηκυῖα, τῶν δὲ υἱέων, ἐν πατρός· γονέων δὲ καὶ τῶν τοιούτων, ἐν ἐπιτρόπου· πᾶσαν πάντων παρὰ πάντα χρόνον ἐπιμέλειαν ποιουμένη. Ὧν χρὴ ἐνθυμου-

ιθ'. Καὶ αὐτὸς δέομ.) Καὶ ἐγὼ ὑπὲρ ἐκείνων τῶν τελευτησάντων δέομαι τῶν μὲν παίδων ἵνα μιμηθῶσι τοὺς ἑαυτῶν γονεῖς· τῶν δὲ πατέρων, ἵνα ἔχωσι θάῤῥος ὑπὲρ τῶν ἀποθανόντων αὐτοῖς παίδων, ὡς ἡμῶν γηροτροφησόντων ὑμᾶς τοὺς πατέρας, καὶ ἐπιμελησομένων ὑμᾶς τοὺς παῖδας, ὅπου ἂν ἕκαστος ἐντυγχάνῃ ὁτῳοῦν ἑκάστῳ τῶν προσηκόντων ἐκείνοις τοῖς τελευτήσασι.

2 Προστέτακται φυλάτ.) Προστέτακται ἀρχή, ἥπερ ἐστὶ μεγίστη, ἵνα φυλάττῃ, ὅπως ἂν καὶ τλ.

3. Εἰς ἀνδρὸς τέλος ἴωσι) Φράσις, ἣ λέγεται καί, Εἰς ἄνδρας τελῶσιν, ἀνδρωθῶσιν, ἄνδρες γένωνται.

5. Καὶ μουσικῆς πάσ.) Γενικὴ διὰ τὸ κτητικὸν γυμνικοὺς ἢ ἀγῶνας γυμνασίων, καὶ μουσικῆς παντὸς εἴδους.

—Ἐν ἐπιτρόπου) Μοῖρα καθεστηκεῖα ἡ πόλις.

μένους πρᾳότερον φέρειν τὴν ξυμφοράν· τοῖς γὰρ τελευτήσασι 7
καὶ τοῖς ζῶσιν οὕτως ἂν προσφιλέστατοι εἴητε, καὶ ῥᾶστοι θερα-
πεύειν τε καὶ θεραπεύεσθαι. Νῦν δὲ ἤδη ὑμεῖς τε καὶ ἄλλοι πάντες,
κοινῇ κατὰ τὸν νόμον τοὺς τετελευτηκότας ἀπολοφυράμενοι ἄπιτε. 8

κ΄. Οὗτός σοι ὁ λόγος, ὦ Μενέξενε, Ἀσπασίας τῆς Μιλησίας
ἐστί. — Μεν. Νὴ Δία, ὦ Σώκρατες, μακαρίαν γε λέγεις τὴν Ἀ-
σπασίαν, εἰ γυνὴ οὖσα τοιούτους λόγους οἷά τ᾽ ἐστὶ συντιθέναι. —
Σωκ. Ἀλλ᾽ εἰ μὴ πιστεύεις, ἀκολούθει μετ᾽ ἐμοῦ, καὶ ἀκούσῃ αὐ- 2
τῆς λεγούσης. — Μεν. Πολλάκις, ὦ Σώκρατες, ἐγὼ ἐντετύχηκα
Ἀσπασίᾳ, καὶ οἶδα οἵα ἐστί. — Σωκ. Τί οὖν; οὐκ ἄγασαι αὐτήν,
καὶ νῦν χάριν ἔχεις τοῦ λόγου αὐτῇ; — Μεν. Καὶ πολλήν γε, ὦ Σώ- 3
κρατες, ἐγὼ χάριν ἔχω τούτου τοῦ λόγου ἐκείνῃ, ἢ ἐκείνῳ ὅστις σοι
ὁ εἰπών ἐστιν αὐτόν· καὶ πρό γε ἄλλων πολλὴν χάριν ἔχω τῷ εἰπόν-
τι. — Σωκ. Εὖ ἂν ἔχοι. Ἀλλ᾽ ὅπως μου μὴ κατερεῖς, ἵνα καὶ αὖ- 4
θίς σοι πολλοὺς καὶ καλοὺς λόγους παρ᾽ αὐτῆς πολιτικοὺς ἀπαγ-
γέλλω. — Μεν. Θάῤῥει, οὐ κατερῶ· μόνον ἀπάγγελλε. — Σωκ.
Ἀλλὰ ταῦτ᾽ ἔσται.

# ΠΛΟΥΤΑΡΧΟΥ ΧΑΙΡΩΝΕΩΣ.

## Α΄. Περὶ παίδων ἀγωγῆς.

α΄. Τί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν ἐλευθέρων παίδων ἀγωγῆς, καὶ τίνι χρώμενοι σπουδαῖοι ἂν τοῖς τρόποις ἀποβαῖεν, φέρε σκεψώμεθα. Βέλτιον δ᾽ ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶτον. Τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πα-

---

κ΄. Οὗτός σοι) Τὸ Σοὶ περιποιητικῶς κατ᾽ ἔθος Ἑλληνισμοῦ· ἀντὶ Οὗτος ἐστὶν ὁ σοὶ ποθητὸς λόγος. Σύνηθες δὲ τοῦτο καὶ ἐν τῇ καθ᾽ ἡμᾶς διαλέκτῳ τῇ κοινῇ ταύτῃ. — Εἰ, γυνὴ οὖσα) Εἰ ἐστὶν ἱκανὴ συντιθέναι τοιούς λόγους, γυνὴ οὖσα.

3. Καὶ πρό γε ἄλλ.) Καὶ μάλιστα χάριν ἔχω σοι τῷ εἰπόντι τοῦτον τὸν λόγον.

4. Ἀλλ᾽ ὅπως μὴ) Ἀλλ᾽ ὅρα ὅπως μή μου κατερεῖς. Πολλάκις γὰρ τὸ Ὅπως λέγεται, ἐννοουμένου τοῦ Ὅρα, ἢ Πρόσχες, ἢ τοιούτου τινὸς παραγγελματικοῦ ῥήματος.

α΄. Ἔχω εἰπεῖν] ἀντὶ τοῦ δύναμαι εἰπεῖν. — Ἐλεύθερος παῖς] Παρὰ τοῖς παλαιοῖς διῃροῦντο οἱ ἄνθρωποι εἰς ἐλευθέρους καὶ δούλους· ἐλεύθεροι μὲν ἦσαν οἱ γνήσιοι πολῖται· δοῦλοι δὲ οἱ κοινῶς λεγόμενοι σκλάβοι· ὅθεν ὁ Συγγραφεὺς ἐνταῦθα λέγει περὶ τῶν ἐξ ἐλευθέρων γεννωμένων παίδων 2. Σπουδ. τοῖς τρόποις ἀποβαίνω] Ἀποκτῶ χρηστὰ ἤθη· ἡ σύνταξις εὐοδωθήσεται οὕτω, φέρε σκεψώμεθα τί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς ἀγωγῆς τῶν ἐλευθέρ. παίδ. καὶ τίνι καὶ τλ. — 3 Βέλτιον] Συγκριτ. ἀπὸ τοῦ ἀγαθὸς, ἐνταῦθα ἀντὶ θετικοῦ κεῖται· ἴδε Γραμ.

— Ἄρχομαι ἀπό τι.] τοῦ ἄρχομαι ἡ γενικὴ μετὰ τῆς ἀπὸ σημαίνει αὐτὴν τὴν στιγμὴν, ἡ ὁποία εἶναι ἡ πρώτη ἀρχὴ τῆς πράξεως· ἡ δὲ γυμνὴ τῆς προθέσεως, δηλοῖ αὐτὴν τὴν πρᾶξιν, ἡ ὁποία ἀρχίζει· οἷον, τὰ βρέφη τοῦ ζῆν ἀπὸ λύπης ἄρχεται· ἐνταῦθα, τοῦ ζῆν σημαίνει τὴν διαρκοῦσαν κατάστασιν, ἥτις λαμβάνει ἀρχὴν· ἀπὸ λύπης δὲ, τὸ αἴσθημα, τὸ ὁποῖον εἶναι ἡ ἀρχὴ τῆς ἀρχομένης καταστάσεως. βούλει σκοπῶμεν, ἀρξάμενοι ἀπὸ τῆς τροφῆς, ὥσπερ ἀπὸ τῶν στοιχείων. Ξεν. Ἀπ. β΄, α΄, α΄. — 4 Τοῖς ἐπιθυμοῦσι γενέσθαι πατράσι] Ἔπρεπε νὰ εἰπῇ πα-